PERI TĪS FYSIOLOGIKĪS FILOSOFIAS PARA TOIS HELLĪSI PRO...

Étienne Gros

ΠΕΡΙ ΤΗΣ

ΦΥΣΙΟΛΟΓΙΚΗΣ

ΦΙΛΟΣΟΦΙΑΣ

ΠΑΡΑ ΤΟΙΣ ΕΛΛΗΣΙ

ΠΡΟ ΤΗΣ ΙΩΝΙΚΗΣ ΑΙΡΕΣΕΩΣ

ΔΙΑΤΡΙΒΗ.

ΣΥΝΕΓΡΑΨΕΝ

E. GROS,

ΕΝ ΤΩ ΤΟΥ ΛΟΔΟΙΚΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΙΚΩ ΓΥΜΝΑΣΙΩ

ΔΙΔΑΣΚΑΛΟΣ

ΤΟ ΠΕΡΙ ΤΑ ΓΡΑΜΜΑΤΑ ΣΟΦΟΔΙΔΑΣΚΑΛΟΥ ΑΞΙΩΜΑ
ΠΑΡΑΓΓΕΛΛΩΝ.

ΕΝ ΠΑΡΙΣΙΟΙΣ,

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΤΟΥ ΦΙΡΜΙΝΟΥ ΔΙΔΟΤΟΥ ΥΙΩΝ.

ͺΑΩΛΕ.

ΘΕΣΙΣ

ΦΙΛΟΣΟΦΙΚΗ.

ΠΕΡΙ ΤΗΣ

ΦΥΣΙΟΛΟΓΙΚΗΣ

ΦΙΛΟΣΟΦΙΑΣ

ΠΑΡΑ ΤΟΙΣ ΕΛΛΗΣΙ

ΠΡΟ ΤΗΣ ΙΩΝΙΚΗΣ ΑΙΡΕΣΕΩΣ

ΔΙΑΤΡΙΒΗ.

ΣΥΝΕΓΡΑΨΕΝ

E. GROS,

ΕΝ ΤΩ ΤΟΥ ΛΟΔΟΙΚΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΙΚΩ ΓΥΜΝΑΣΙΩ

ΔΙΔΑΣΚΑΛΟΣ

ΤΟ ΠΕΡΙ ΤΑ ΓΡΑΜΜΑΤΑ ΣΟΦΟΔΙΔΑΣΚΑΛΟΥ ΑΞΙΩΜΑ ΠΑΡΑΓΓΕΛΛΩΝ.

ΕΝ ΠΑΡΙΣΙΟΙΣ,

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΤΟΥ ΦΙΡΜΙΝΟΥ ΔΙΔΟΤΟΥ ΥΙΩΝ.

ΑΩΛΕ.

ΤΩΝ

ΠΕΡΙ ΤΗΝ ΙΣΤΟΡΙΑΝ

ΕΜΠΕΙΡΟΤΑΤῼ ΑΝΔΡΙ

ΚΑΙ

ΤΗΣ ΚΟΙΝΗΣ ΔΙΔΑΣΚΑΛΙΑΣ

ΔΙΟΙΚΗΤῌ ΥΠΕΡΤΑΤῼ

GUIZOT

ΤΟΔΕ

ΧΑΡΙΤΟΣ ΑΜΑ ΚΑΙ ΘΕΡΑΠΕΙΑΣ

ΜΝΗΜΟΣΥΝΟΝ

ΑΝΕΘΗΚΑ.

ΠΕΡΙ ΤΗΣ

ΦΥΣΙΟΛΟΓΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ,

ΠΑΡΑ ΤΟΙΣ ΕΛΛΗΣΙ

ΠΡΟ ΤΗΣ ΙΩΝΙΚΗΣ ΑΙΡΕΣΕΩΣ,

ΔΙΑΤΡΙΒΗ.

ΠΡΟΟΙΜΙΟΝ.

ἘΞ ἀμυδρῶν τε καὶ ἀσθενῶν σπερμάτων ὡρμημένη μὲν ἡ φιλοσοφία, τῷ ἀεί τι προσεπιβάλλεσθαι, ἅπαντα τελευτῶσα ἐπεξῆλθε, καὶ ἐφ' ἑαυτῇ ἐποιήσατο θεῖά τε ὁμοῦ καὶ ἀνθρώπινα (1).

Μέρη δὲ τῆς φιλοσοφίας τρία παρὰ τοῖς Ἕλλησι· φυσικὸν, ἠθικὸν, διαλεκτικόν (2). Φυσικὸν μὲν τὸ περὶ κόσμου καὶ τῶν ἐν αὐτῷ· ἠθικὸν δὲ, τὸ περὶ βίου καὶ τῶν πρὸς ἡμᾶς· διαλεκτικὸν δὲ, τὸ ἀμφοτέρων τοὺς λόγους πρεσβεῦον (3).

Ἀπὸ Θαλοῦ μέχρι τοῦ Ἀρχελάου, τὸ φυσικὸν εἶδος ἦν· ἀπὸ

---

(1) Θεμίστ. ἐν τῷ λόγ. κϛ', κατὰ τὴν τοῦ Ἀρδουΐνου ἔκδοσιν.

(2) Διογ. Λαέρτ. βιβ. Α'. κεφ. ιη'.

(3) Αὐτόθι.

δὲ Σωκράτους τὸ ἠθικόν· ἀπὸ δὲ Ζήνωνος τοῦ Ἐλεάτου τὸ διαλεκτικόν (1).

Φιλοσοφίαν δὲ πρῶτος ὠνόμασε Πυθαγόρας, καὶ ἑαυτὸν φιλόσοφον. Τὸ πρῶτον γὰρ ἐκαλεῖτο Σοφία· καὶ Σοφὸς ὁ ταύτην ἐπαγγελλόμενος.

Θαλῆς δὲ πρὸς γῆρας φύσεώς τε ἥψατο, καὶ ἀνέβλεψεν εἰς τὸν οὐρανὸν, καὶ τὰ ἄστρα ἐξήτασε. Πολλὰ δὲ εἰσενεγκάμενος, οὐ κατέθετο εἰς συγγραφὴν τὰ εὑρήματα (2).

Ὁμοίως δὲ Φερεκύδης, ὃς Πιττακοῦ διακήκοε, καὶ Ἀναξίμανδρος, Θαλοῦ γενόμενος ζηλωτὴς, καὶ Ἀναξιμένης ὁ Μιλήσιος, Ἀναξιμάνδρου μαθητὴς, καὶ ὁ Κλαζομένιος Ἀναξαγόρας, ὃς Ἀναξιμένους ἤκουσεν, καὶ Ἀρχέλαος, Ἀθηναῖος ἢ Μιλήσιος, περὶ τὴν τῶν φυσικῶν θεωρίαν ἦσαν.

Οὗτοι δὲ ἐπώνυμοι τῶν τόπων περὶ οὓς διέτριψαν, Ἰωνικοὶ ἐξωνομάσθησαν, ἢ Φυσικοὶ, ἀπὸ τῆς περὶ τὴν Φύσιν πραγματείας (3).

Ἔληξεν ἐν Ἀρχελάῳ ἡ φυσικὴ φιλοσοφία. « Σωκράτης « γὰρ ὁ γενναῖος, οὐ τὴν ἀρχαίαν ἐβάδιζε καὶ τετριμμένην. « Τῶν γὰρ πρὸ αὐτοῦ σχεδόν τι ἁπάντων περὶ τῆς Φύσεως « φροντισάντων, οὗτος ταῦτα μὲν οὐκ ἐνόμιζεν εὑρετὰ εἶναι « ἀνθρώπῳ, ἀλλὰ κατατρίβειν τὸν βίον καὶ τῶν ὠφελίμων « ἀποκωλύειν. Ὅθεν δὲ χρὴ γενέσθαι ἄνδρα καλόν τε καὶ

---

(1) Αὐτόθι.
(2) Θεμίστ. ἐν τῷ προειρημ. λόγ.
(3) Διογ. Λαέρτ. ἐν τοῖς προειρημ.

« ἀγαθὸν, ταῦτα ἐφρόντισε πρῶτος καὶ ὑπετείνατο· καὶ « ὅ τι ποτέ ἐστιν ἀρετὴ ἀνθρώπου, καὶ ὅπως ἂν παραγέ- « νοιτο· καὶ ὅ τι ποτέ ἐστι κακία, καὶ ὅπως ἄν τις αὐτὴν « ἀποφυγγάνοι (1). »

Ἀνδρί τινι τῶν πολυμαθεστέρων (2) διεξερευνῶντι τῆς ἰωνικῆς αἱρέσεως τὰ σωζόμενα, θαυμάζειν ἔπεισιν, ὅτι οἱ τὰ πρῶτα παρὰ τοῖς Ἕλλησι φιλοσοφήσαντες, περί τε τοῦ κόσμου σπουδὴν ἐποιήσαντο μεγίστην, καὶ περὶ τῆς τῶν ἁπάντων ἀρχῆς, καὶ περὶ τοῦ οὐρανοῦ, καὶ ὅπως ἔχει ἡ γῆ θέσεώς τε καὶ σχήματος, καὶ ἐξ ὧν γεννᾶται τὰ ζῶα, καὶ ἐξ ὧν φύεται τὰ φυτά· πολλοῦ γε, μᾶλλον δὲ τοῦ παντὸς δεόμενοι τοῦ φροντίζειν περὶ τῶν καταληπτῶν, ἢ ὅσα παρὰ τῷ θνητῶν γένει ἔστι βοηθήματα ὠφελοῦντα μέγιστα τὸν βίον, οἷά τις ἂν λέγοι τὸ πολιτικὸν καὶ τὸ ἠθικὸν, καὶ τὴν τοῦ τὰ χρήσιμα πείθειν δύναμιν.

Ὅτι δὲ, ὡς ἐγῷμαι, οὐκ ἐνεχώρει γενέσθαι ἄλλως ἃ παράδοξα ἐνόμισεν αὐτὸς καὶ τῆς συνηθείας ἀλλότρια, δῆλον ἔσται τῷ τὴν παλαιὰν ἱστορίαν ἐξετάζοντι.

Θαλῆν γάρ φασι (3) γεγεννῆσθαι κατὰ τὸ πρῶτον ἢ δεύτερον (4) ἔτος τῆς τριακοστῆς πέμπτης ὀλυμπιάδος. Ἐβίωσεν οὖν ἐν τῇ ἕκτῃ πρὸ Χριστοῦ Ἑκατονταετηρίδι.

---

(1) Θεμίστ. ἐν τῷ προειρημ. λόγ.

(2) Meiners, ἐν τῷ βιβλίῳ τῷ ἐπιγεγραμμ. *Gesch. der Künste und Wissenchaften in Griechenland*, σελ. πϛ'. κ. τ. λ.

(3) Διογ. Λαέρτ. Α'. κεφ. λζ'-λη'.

(4) Ἀναγνωστ. Sigonius, ἐν τῷ βιβλ. περὶ τῶν Ἀττικῶν χρόνων.

Ἐμοὶ δὲ, καί τοι μηδαμῶς ἐγνωκότι ἀπελαύνειν τὸν ζόφον τὸν κατακεχυμένον κατ' ἀρχὰς ἁπάσης τῆς Ἑλλάδος, τόδε μέντοι, ὡς ἔοικεν, ἔξεστιν εἰπεῖν ὅτι πολλὰ τῶν εἰς ἡμερώτερα ἤθη καὶ εἰς τὸ ἄμεινον πολιτεύεσθαι ἐχόντων ὠφέλειαν, τὴν πρώτην ἐπίδοσιν ἔλαβεν ἀπὸ τῆς ἐκκαιδεκάτης ἄχρι τῆς δωδεκάτης πρὸ Χριστοῦ Ἑκατονταετηρίδος· πάλιν δ' ἐπὶ τὸ μέγιστον ηὐξήθη ἀπὸ τῆς δωδεκάτης ἄχρι τῆς ἕκτης· ὥστε δεῖν ὅλως τοὺς ἄνωθεν χρόνους, καὶ τὰ γένη, ὡς συνείρεται, μέχρι Θαλοῦ τοῦ Μιλησίου ἀκριβέστατα ἀνελίσσειν· καὶ τὰ τῶν παλαιῶν γραμμάτων ὑπομνήματα, καὶ τὰ περὶ τῶν θείων παραδοθέντα ἐξερευνᾷν.

Ταύτῃ γὰρ μόνον, εἰς τὸ δυνατὸν, ἔσται φανερὸν ὅτι καὶ πρὸ Θαλοῦ τινὰ ἐν τοῖς Θεολογουμένοις εὑρεῖν ἐστι φυσιολογικῶς φιλοσοφηθέντα· διόπερ καὶ μετὰ τῆς ἰωνικῆς αἱρέσεως ἡ φιλοσοφία φυσιολογοῦσα διετέλεσεν· ἀλλὰ χωρὶς τῆς Θεολογίας.

ΚΕΦ. Α'.

Τῶν ἀμφὶ τὰ πολιτικὰ μεταβολῶν σύντομος διήγησις.

Ἀπὸ τῶν παλαιτάτων χρόνων ἄχρι τῆς ἰωνικῆς αἱρέσεως δύο μάλιστα εἰσὶν ἐποχαὶ ἐν τῷ τῆς Ἑλλάδος βίῳ, ὡς εἰπεῖν. Ἡ πρώτη μὲν εὐθὺς ἀπὸ τῶν παλαιτάτων μέχρι τῶν Τρωϊκῶν· ἡ δὲ δευτέρα, ἀπὸ τῶν Τρωϊκῶν μέχρι τῆς ἰωνικῆς αἱρέσεως.

§ Α'. Ἀπὸ τῶν παλαιτάτων χρόνων ἄχρι τῶν Τρωϊκῶν.

Ἀνὰ δὲ τὴν πρώτην ἐποχὴν, οἱ τὴν Ἑλλάδα ἐνοικοῦντες, κατ' ἀρχὰς μὲν ὠνομάσθησαν Πελασγοί· ἐν δὲ ὑστέρῳ, Ἕλληνες. Οἱ μὲν Πελασγοὶ τὴν παλαιὰν βαρβαρότητα, ὡς δοκῶ, σημαίνουσι καί τινα τοῦ ἡμερωτέρου βίου σπέρματα· οἱ δὲ Ἕλληνες, τὰ ἤθη ἡμερωθέντα, καὶ τὴν πολιτείαν ἄμεινον κατεσκευασμένην (1).

Τοὺς δὲ Πελασγοὺς τῶν φύλλων τὰ ἔτι χλωρὰ καὶ πόας τε καὶ ῥίζας οὐδὲ ἐδωδίμους, ἀλλὰ ὀλεθρίους ἐνίας σιτου-

(1) Ἀναγνωστ. κεφ. β'. § Α' σημ. α'.

μένους τούτων μὲν, ὡς ἱστορεῖται (1), ἔπαυσεν ὁ Πελασγός.

Παρὰ τούτους δὲ ἔξωθεν ἀφίκοντο ἐποικίαι ἐκ διαδοχῆς (2). Κέκροψ γὰρ ἧκεν ἐξ Αἰγύπτου εἰς τὴν ἐν τῷ ὑστέρῳ Ἀττικήν (3). Δαναὸς δὲ καὶ αὐτὸς ἐξ Αἰγύπτου ἧκεν εἰς Ἄργος (4). Καὶ Φοίνικες οἱ σὺν Κάδμῳ ἀφικόμενοι εἰς τὴν γῆν τὴν ἐν τῷ ὑστέρῳ Βοιωτίαν κληθεῖσαν, ταύτην τὴν χώραν ᾤκησαν (5). Καὶ Οἰνόμαος, ὁ Ἀλξίωνος, δυναστεύων περὶ τὴν Πισαίαν καλουμένην, ἐπαύσθη τῆς ἀρχῆς, διαβάντος ἐκ τῆς Ἀσίας Πέλοπος. Πέλοψ δὲ διὰ τὴν ἀνδρείαν καὶ σύνεσιν ἀεὶ μᾶλλον αὐξανόμενος, τοὺς πλείστους τῶν κατὰ τὴν Πελοπόννησον οἰκούντων προσηγάγετο, καὶ τὴν χώραν ἀφ' ἑαυτοῦ Πελοπόννησον προσηγόρευσε (6).

Καὶ τὸ μὲν τῶν Πελασγῶν γένος ἐχρήσατο τύχαις δυσπότμοις, εἰς πολλὰ μὲν καὶ ἄλλα, μάλιστα δ' εἰς τὴν πολύπλανόν τε καὶ οὐδενὸς τόπου βέβαιον οἴκησιν (7). Πρῶτον μὲν γὰρ περὶ τὸ καλούμενον ἐν τῷ ὑστέρῳ Ἀχαϊκὸν Ἄργος ᾤκησαν. Ἕκτῃ δὲ ὕστερον γενεᾷ Πελοπόννησον ἐκλιπόντες, εἰς τὴν πάλαι Αἱμονίαν, ἐν δὲ ὑστέρῳ Θετταλίαν ὀνομαζο-

---

(1) Παυσαν. βιβ. Η'. κεφ. α'.

(2) Τῇ διανοίᾳ τὸ νῦν ἀλλήλων διΐστανται οἱ τούτων κύριοι περὶ τῶν κατ' ἀρχὰς τὴν Ἑλλάδα κατοικησάντων. Ἃ παρὰ τῶν πάλαι συγγραφέων παρειλήφαμεν διηγητέα ἐν τῷ παρόντι οἶμαι· ἐν δὲ ὑστέρῳ τοὺς καινοτέρων στοχασμοὺς προσοίσομαι, κεφ. β'.

(3) Παυσαν. βιβ. Α'. κεφ. β'.

(4) Στράβ. βιβ. Α'. κεφ. κγ'.

(5) Ἡρόδοτ. βιβ. Ε'. κεφ. νη'.

(6) Διόδ. ὁ Σικ. βιβ. Δ'. κεφ. ογ'.

(7) Διον. ὁ Ἁλικ. Ἀρχαιολογ., βιβ. Α'. κεφ. ιζ'.

μένην μετανέστησαν. Καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ ἐξελαύνουσι, καὶ νέμονται τὴν χώραν τριχῇ, τοῖς ἡγεμόσι ποιήσαντες ὁμωνύμους τὰς μοίρας Φθιῶτιν, καὶ Ἀχαΐαν καὶ Πελασγιῶτιν. Πέντε δὲ μείναντες αὐτόθι γενεὰς, ἐν αἷς ἐπὶ μήκιστον εὐτυχίας ἤλασαν, περὶ τὴν ἕκτην γενεὰν ἐξελαύνονται Θετταλίας ὑπό τε Κουρήτων καὶ Λελέγων καὶ συχνῶν ἄλλων τῶν περὶ τὸν Παρνασσὸν οἰκούντων, ἡγουμένου Δευκαλίωνος. Σκεδασθέντες δὲ κατὰ τὴν φυγὴν, οἱ μὲν εἰς Κρήτην ἀπῆλθον, οἱ δὲ τῶν Κυκλάδων νήσων τινὰς κατέσχον, οἱ δὲ περὶ τὸν Ὄλυμπόν τε καὶ τὴν Ὄσσαν τὴν καλουμένην Ἑστιαιῶτιν, ᾤκησαν· ἄλλοι εἴς τε Βοιωτίαν καὶ Φωκίδα καὶ Εὔβοιαν διεκομίσθησαν· οἱ δ', εἰς τὴν Ἀσίαν περαιωθέντες, τῆς περὶ τὸν Ἑλλήσποντον παραλίου πολλὰ χωρία κατέσχον καὶ τῶν παρακειμένων αὐτῇ νήσων ἄλλας τε συχνὰς, καὶ τὴν ἔπειτα καλουμένην Λέσβον (1).

Ἐγένοντο δὲ Δευκαλίωνι παῖδες· Ἕλλην μὲν πρῶτος· δεύτερος δὲ Ἀμφικτύων. Ἕλληνος δὲ Δῶρος, Ξοῦθος, Αἴολος (2). Τῶν δὲ παίδων, Αἴολον μὲν τὸν πρῶτον βασιλεύειν ἐδικαίωσεν ἧς ἦρχε γῆς, Ἀσωπῷ καὶ Ἐνιπεῖ τὴν ἀρχὴν διορισάμενος, ἐξ οὗ τὸ Αἰολικὸν κατάγεται γένος. Δῶρος δὲ δεύ-

---

(1) Αὐτόθι. — Περὶ τοῦ τῶν Πελασγῶν διασκεδασμοῦ ἀναγνωστ. Niebuhr, ἐν τῷ βιβλ. τῷ ἐπιγεγρ. *Ræmische Gesch.* t. I, p. 32 et suiv. 59, 60; καὶ L. C. F. Petit-Radel, ἐν τῷ βιβλ. τῷ ἐπιγεγρ. *Examen analytique et tableau comparatif des synchronismes de l'histoire des temps héroïques de la Grèce*, Paris 1827.

(2) Κόνων, κεφ. κζ'.

τερος, μοῖραν τοῦ λαοῦ λαβὼν παρὰ τοῦ πατρὸς, ἀποικίζεται· ἐξ οὗ Δωριεῖς. Ὁ δὲ νεώτατος Ἀθήναζε ἀφικόμενος, γαμεῖ Κρέουσαν τὴν Ἐρεχθέως, καὶ τίκτει ἐξ αὐτῆς Ἀχαιὸν καὶ Ἴωνα, ἀφ' ὧν οἱ Ἀχαιοὶ καὶ οἱ Ἴωνες καλοῦνται (1).

Ποικίλας δὲ χώρας κατῴκησαν. Αἰολεῖς γὰρ εἰς τὴν πάλαι Αἱμονίαν, ἐν δὲ ὑστέρῳ Θεττολίαν ἀφικόμενοι τοὺς Πελασγοὺς ἐκεῖ κατοικοῦντας ἐξήλασαν, ἢ σὺν αὐτοῖς ἀνεμίγησαν. Ἴων δ' ἐπὶ τοὺς Αἰγιαλεῖς στρατιὰν ἀθροίσας τὴν ἀρχὴν ἔσχεν, καὶ Ἑλίκην ἀπὸ τῆς γυναικὸς ὀνομάσας ᾤκισεν ἐν τῷ Αἰγιαλῷ πόλιν, καὶ τοὺς ἀνθρώπους ἐκάλεσεν Ἴωνας ἀφ' αὐτοῦ (2). Δυνηθέντων δὲ ἔν τε Ἄργει καὶ Λακεδαίμονι τῶν Ἀχαιοῦ παίδων, τοὺς ἀνθρώπους ἐξενίκησεν Ἀχαιοὺς κληθῆναι. Τὸ δὲ Δωρικὸν γένος ᾤκησε τὴν ὑπὸ τὴν Ὄσσαν τε καὶ τὸν Ὄλυμπον χώραν. Ἐκ δὲ τῆς Ἑστιαιώτιδος ὡς ἐξανέστη ὑπὸ Καδμείων, ἐν τῷ Πίνδῳ κατῴκησεν.

Τοιούτῳ δὲ τρόπῳ τὰ ἔξωθεν ἔθνη τοῖς ἐγχωρίοις συνεμίχθησαν πρὸ τῶν ἡρωϊκῶν χρόνων.

Μέγισται δὲ καὶ πλεῖσται συνετελέσθησαν πράξεις ὑπὸ τῶν Ἡρώων καὶ πολλῶν ἄλλων ἀνδρῶν ἀγαθῶν (3). Τότε

---

(1) Ἀπολλόδ. βιβλ. Α'. κεφ. ζ'.

Εἰσὶν οἳ ἔδειξεν ὅτι Ἕλλην καὶ Αἴολος καὶ Δῶρος καὶ Ἴων καὶ Ἀχαιὸς οὐκ ἀληθῶς γεγόνασι· ταῦτα δὲ ὀνόματα ἐνόμισαν μυθικὰ εἶναι.

Καθ' ἣν γνώμην λεκτέον μετὰ τὸν Δευκαλίωνα τοὺς Ἕλληνας ὑποδιῃρῆσθαι κατὰ φυλὰς, αἳ προσηγορεύθησαν Δωριεῖς, καὶ Αἰολεῖς, καὶ Ἴωνες, καὶ Ἀχαιοί.

(2) Παυσαν. βιβλ. Ζ'. κεφ. α'.

(3) Διόδ. ὁ Σικ. βιβλ. Δ'. κεφ. α'.

δὲ καὶ οἱ Ἕλληνες ἤρξαντο μείζω τολμᾷν (1). Διεστείλαντο γὰρ τὸν πλοῦν εἰς Κολχοὺς ἐπὶ τὸ διαβεβοημένον τοῦ Κριοῦ χρυσόμαλλον. Ὁ δὲ Ἡρακλῆς τοὺς μεγίστους ἄθλους ἐπετέλεσε ἐν τῇ Ἑλλάδι καὶ ἐν τῇ Ἀσίᾳ (2). Καὶ ὁ Θησεὺς, ὃν διέκαιεν ἡ δόξα τῆς Ἡρακλέους ἀρετῆς, τά τε ἄλλα διεκόσμησε τὴν χώραν, καὶ νεμομένους τὰ αὐτῶν ἑκάστους ἠνάγκασε μιᾷ πόλει χρῆσθαι (3).

Τῶν δὲ Ἡρακλέους παίδων ἀνδρωθέντων, ὑφορώμενος αὐτῶν τὴν αὔξησιν ὁ Εὐρυσθεὺς ἔγνω τοὺς Ἡρακλείδας ἐξ ὅλης τῆς Ἑλλάδος φυγαδεῦσαι καὶ ἐστράτευσεν ἐπ' αὐτούς. Οἱ δὲ Ἡρακλεῖδαι τὰ πρῶτα ἐνίκησαν παρατάξει τὸν Εὐρυσθέα. Αὐτὸς δὲ ὑπὸ Ὕλλου τοῦ Ἡρακλέους ἀνῃρέθη. Ὁμοίως δὲ καὶ οἱ υἱοὶ τοῦ Εὐρυσθέως πάντες ἐτελεύτησαν (4).

Ἄλλων δὲ γενομένων μαχῶν, ἀνῃρέθη μὲν ἔν τινι μονομαχίᾳ Ὕλλος· οἱ δὲ Ἡρακλεῖδαι τὴν εἰς Τρικόρυθον ἐπάνοδον ἐποιήσαντο. Μετὰ δέ τινας χρόνους Λικύμνιος μὲν μετὰ τῶν παίδων καὶ Τληπολέμου τοῦ Ἡρακλέους, ἑκουσίως τῶν Ἀργείων αὐτοὺς προσδεξαμένων, ἐν Ἄργει κατῴκησαν. Οἱ

---

(1) Αὐτόθι, κεφ. μ'.

(2) Ὀρθῶς περὶ τοῦ Ἡρακλέους, ἔμπειρος τῆς ἱστορίας διδάσκαλος· « dans « le personnage d'Hercule, il y a un astre, le soleil, dont la marche « apparente, dans les douze signes du zodiaque, est figurée par les « douze travaux. Il y a aussi un prince, nommé Alcide, surnommé « Hercule ou Soleil, dont l'existence historique se compose d'expé- « ditions dans la Grèce et dans l'Asie-Mineure » (Poirson, Hist. anc. p. 160, et pag. 153 et 154).

(3) Θουκυδ. βιβ. β'. κεφ. ιε'.

(4) Διόδ. ὁ Σικ. βιβ. Δ'. κεφ. νζ'.

δὲ ἄλλοι Ἡρακλεῖδαι ἐλθόντες παρ' Αἰγίμιον τὸν Δώρου, τὴν πατρῴαν τῆς χώρας παρακαταθήκην ἀπαιτήσαντες, μετὰ Δωριέων κατῴκησαν (1).

Εἵπετο δὲ τὰ περὶ τῶν Ἑπτὰ ἐπὶ Θήβας (2). Καὶ ταύτης τῆς στρατείας σχούσης τὸ πέρας οἱ παῖδες, Ἐπίγονοι ὀνομασθέντες, τὸν τῶν πατέρων θάνατον ἐπεξιόντες ἐστράτευσαν κοινῇ ἐπὶ τὰς Θήβας.

Ἐγένετο δὲ τέλος ἡ εἰς Ἴλιον στρατεία, ἣν εἰκὸς νομίζειν μεγίστην τῶν πρὸ αὐτῆς (3).

§ Β'. Ἀπὸ τῶν Τρωϊκῶν μέχρι τῆς Ἰωνικῆς αἱρέσεως.

Ἡ δὲ ἀναχώρησις ἐξ Ἰλίου πολλὰ ἐνεόχμωσε καὶ στάσεις ἐν ταῖς πόλεσι ἐγίγνοντο (4).

Τὴν δὲ Αἱμονίαν ἐφ' ἑαυτοῖς ἐποιήσαντο οἱ Θεσπρωτοί· Θήβας τε ὁμοῦ καί τι τῆς Βοιωτίας οἱ Αἰολεῖς, οἱ ἀπὸ τῆς Ἄρνης· σχεδόν τι ἅπασαν τὴν Πελοπόννησον οἱ Δωριεῖς καὶ οἱ Αἰολεῖς· τὴν δὲ Ἀττικὴν οἱ ἐκ τῆς Πελοποννήσου φυγάδες. Οἱ δὲ Ἡρακλεῖδαι παραβεβηκότες τὴν ὁμιλίαν μὴ κατιέναι εἰς Πελοπόννησον ἐντὸς ἐτῶν ἑκατὸν, εἰς ταύτην τὴν χώραν δὶς εἰσέβαλον (5). Δωριεῖς τε ὀγδοηκοστῷ ἔτει ὕστε-

(1) Αὐτόθι, κεφ. νη'.
(2) Αὐτόθι, κεφ. ξδ'.
(3) Θουκυδ. βιβ. Α'. κεφ. θ'.
(4) Αὐτόθι, κεφ. ιβ'.
(5) Ἀναγνωστ. Παυσαν. βιβ. Ε'. κεφ. γ' — δ': ἐπὶ Ἠλείου βασιλεύοντος ἐν Ἤλιδι — τήν τε βασιλείαν ἔσχεν Ὄξυλος κ. τ. ἑ.

ρον τῶν Τρωϊκῶν, σὺν Ἡρακλείδαις Πελοπόννησον ἔσχον (1). Ἡρακλειδῶν δὲ κατελθόντων, Πελοπόννησος ἐταράχθη πᾶσα, πλὴν Ἀρκάδων (2). Τὴν Ἠλείων ἀρχὴν ἔλαβεν ὁ Ὄξυλος. Τῷ δὲ Κρεσφόντῃ καὶ τῷ Τημένῳ καὶ τοῖς Ἀριστοδήμου παισὶν ἔδοξε τριχῇ νεῖμαι τὴν Πελοπόννησον· Δωρίδα δὲ καὶ Ὑανθίδα ἐν Κορίνθῳ βασιλευόντων, Δωριεῖς ἐστράτευσαν ἐπὶ Κόρινθον. Τῶν δὲ Κορινθίων ὁ δῆμος ἐξέπεσεν ὑπὸ Δωριέων κρατηθεὶς μάχῃ.

Ἐν δὲ Ἀρκαδίᾳ, εὕρισκεν ὁ Κύψελος ἕνα τῶν Ἀριστομάχου παίδων οὐκ ἔχοντά πω γυναῖκα. Τούτῳ τὴν θυγατέρα ἐκδοὺς καὶ οἰκειωσάμενος τὸν Κρεσφόντην, αὐτός τε καὶ οἱ Ἀρκάδες ἐκτὸς ἐστήκεσαν τοῦ δείματος (3). Τότε δὲ ὑπὸ Δωριέων ἐκπεπτωκότες ἔκ τε Ἄργους καὶ ἐκ Λακεδαίμονος Ἀχαιοὶ, ἐπεκηρυκεύοντο Ἴωσιν αὐτοί τε καὶ ὁ βασιλεὺς Τισαμενὸς ὁ Ὀρέστου, γενέσθαι σύνοικοί σφισιν ἄνευ πολέμου. Τῶν δὲ Ἰώνων τοὺς βασιλέας ὑπῄει δέος, μὴ Ἀχαιῶν ἀναμιχθέντων αὐτοῖς Τισαμενὸν ἐν κοινῷ βασιλέα ἕλωνται. Ἰώνων δὲ οὐ προσιεμένων τοὺς Ἀχαιῶν λόγους, ἀλλ' ἐπεξελθόντων σὺν ὅπλοις, Τισαμενὸς μὲν ἔπεσεν ἐν τῇ μάχῃ· Ἴωνας δὲ Ἀχαιοὶ κρατήσαντες ἐπολιόρκουν καταπεφευγότας ἐς Ἑλίκην, καὶ ὕστερον ἀφιᾶσιν ἀπελθεῖν ὑποσπόνδους (4). Οἱ δὲ Θετταλοί τε καὶ οἱ Δωριεῖς καὶ οἱ

---

(1) Θουκυδ. βιβ. Α'. κεφ. ιβ'.
(2) Παυσαν. βιβ. Β'. κεφ. ιγ'.
(3) Αὐτόθι, βιβ. Η'. κεφ. ε'.
(4) Αὐτόθι, βιβ. Ζ'. κεφ. α'.

Αἰολεῖς καὶ οἱ Ἴωνες πολλὰς χώρας καταστρεψάμενοι, εἰς τρία μέρη διήρεσαν· ὧν τὸ μὲν πρῶτον καὶ μέγιστον ἔσχεν ὁ βασιλεύς· τὸ δὲ δεύτερον οἱ ἡγεμόνες· τὸ δὲ τρίτον, πάντες ὅσοι τῆς στρατείας μετασχόντες.

Ἐν δὲ τῷ ὑστέρῳ ποικίλων περὶ τῆς πολιτείας ἐπειράθη μεταϐολῶν ἑκάστη χώρα. Τὰ πρῶτα γὰρ οἱ βασιλεῖς τε καὶ οἱ ἀριστεῖς καὶ οἱ πολλοὶ περὶ τῆς ἄκρας ἐξουσίας ἠμφισϐήτησαν. Δεύτερον δὲ, οἱ ἀριστεῖς διὰ τῆς τῶν κτημάτων εὐπορίας τὴν πλείστην ἔσχον ῥοπήν· καὶ ὠλιγαρχήθησαν αἱ πόλεις. Τρίτον δὲ, κατελύθησαν αἱ ὀλιγαρχίαι· καὶ τυραννίδες, ὡς τὰ πλεῖστα, ἐν ταῖς πόλεσι κατέστησαν. Τότε τύραννοι, ὅσοι ἦσαν, τὸ ἐφ' ἑαυτῶν προορώμενοι, ἔς τε τὸ σῶμα καὶ ἐς τὸ τὸν ἴδιον οἶκον αὔξειν, δι' ἀσφαλείας ὅσον ἠδύναντο, μάλιστα τὰς πόλεις ᾤκουν. Ἐπράχθη τε ἀπ' αὐτῶν οὐδὲν ἔργον ἀξιόλογον, εἰ μὴ εἴ τι πρὸς περιοίκους τοὺς αὐτῶν ἑκάστοις (1). Τέταρτον δὲ, τῶν τυράννων καταλυθέντων κατέστη μὲν ἡ δημοκρατία ἔν τινι τῆς Πελοποννήσου μέρει, ὁμοῦ δὲ καὶ ἐν τῇ Ἑλλάδι τῇ μέσῃ· ἡ δὲ ἀριστοκράτεια ἢ ἡ ὀλιγαρχία ἐν τῷ τῆς Πελοποννήσου λοιπῷ καὶ ἐν ὅλῃ Θετταλίᾳ.

Ἐκ δὲ τούτων οὕτω γενομένων, ἀρχὴν ἔλαϐον πολλαὶ ἀποικίαι (2).

---

(1) Θουκυδ. βιϐ. Α'. κεφ. ιγ'.

(2) Ἐν αἷς τρεῖς μάλιστα· Α'. Ἡ ΑΙΟΛΙΚΗ ΑΠΟΙΚΙΑ. Στράϐ. βιϐ. ιγ'. σελ. ωπϐ'. Φασὶν ὑπ' αὐτὴν τὴν τῶν Ἡρακλειδῶν εἰς Πελοπόννησον κάθοδον Αἰολικὴν ἀποικίαν προελθεῖν μέχρι Θρᾴκης· εἶτ' Ἀρχέλαον περαιῶσαι τὸν

Τὰ παρ' ἑκάστῳ ἔθνει ἀπὸ τῆς δωδεκάτης πρὸ Χριστοῦ Ἑκατονταετηρίδος γεγενημένα διεξελθεῖν, πολύ γε μακρότερον ἂν εἴη· ἱκανὸν δὲ ἡγοῦμαι μνήμην ἐπανάγειν ἐπὶ τοὺς Λακεδαιμονίους καὶ Ἀθηναίους. Δυνάμει γὰρ τὰ τούτων πράγματα μέγιστα διεφάνη· ταύτην δὲ τὴν αὔξησιν ὤφελον οἱ μὲν Λακεδαιμόνιοι τοῖς τοῦ Λυκούργου νόμοις· οἱ δὲ Ἀθηναῖοι, τοῖς τοῦ Σόλωνος (1).

Αἰολικὸν στόλον εἰς τὴν ἐν τῷ ὕστερον Κυζικηνήν. Γρᾶν δὲ τὸν υἱὸν τούτου τὸν νεώτατον, προελθόντα μέχρι τοῦ Γρανίκου ποταμοῦ, καὶ παρεσκευασμένον ἄμεινον περαιῶσαι τὸ πλέον τῆς στρατιᾶς εἰς Λέσβον καὶ κατασχεῖν αὐτήν. Κλεύην δὲ τὸν Δώρου, καὶ Μαλαὸν συναγαγεῖν τὴν στρατιὰν κατὰ τὸν αὐτὸν χρόνον, καθ' ὃν καὶ Πενθίλος· ἀλλὰ τὸν μὲν τοῦ Πενθίλου στόλον φθῆναι περαιωθέντα ἐκ τῆς Θρᾴκης εἰς τὴν Ἀσίαν. Τούτους δὲ περὶ τὴν Λοκρίδα καὶ τὸ Φρίκιον ὄρος διατρίψαι πολὺν χρόνον· ὕστερον δὲ διαβάντας κτίσαι τὴν Κύμην.

Μεγίστη δὲ ἦν τῶν Αἰολικῶν καὶ ἀρίστη Κύμη καὶ σχεδὸν μητρόπολις αὕτη τε καὶ ἡ Λέσβος τῶν ἄλλων πόλεων.

Β'. Ἡ ΙΩΝΙΚΗ ΑΠΟΙΚΙΑ. Στράβ. βιβ. ιδ'. σελ. πλθ'. Ἄρξαι φασὶν Ἀνδροκλον τῆς τῶν Ἰώνων ἀποικίας, υἱὸν γνήσιον Κόδρου· γενέσθαι δὲ Ἐφέσου κτίστην. Καὶ Μίλητον ἔκτισε Νηλεὺς — Μίλητος δὲ καὶ Ἔφεσος ἄρισται μὲν πόλεις ἦσαν καὶ ἐνδοξόταται.

Γ'. Ἡ ΔΩΡΙΚΗ ΑΠΟΙΚΙΑ. Στράβ. βιβ. ιδ'. σελ. πξε'. Δωριεῖς ἦσαν οἱ Ῥόδιοι — τῶν ὑφ' Ὁμήρου λεγομένων ἐστί.

(1) Ἀναγνωστ. Πλουτάρχ. ἐν τῷ Λυκούργ. καὶ Σόλων. βίῳ.

ΚΕΦ. Β'.

Πῶς ἔσχε τὰ περὶ τῶν Θεῶν, ἀπὸ τῶν παλαιτάτων χρόνων ἄχρι τῆς ἰωνικῆς αἱρέσεως, παρὰ τοῖς Ἕλλησι.

§ Α'. Ἀπὸ τῶν παλαιτάτων χρόνων ἄχρι τῶν Τρωϊκῶν.

Ὁποτερωσδήποτε συνοικίσθη κατ' ἀρχὰς ἡ χώρα ἐν ὑστέρῳ Ἑλλὰς καλουμένη· εἴθ' ὑπὸ αὐτοχθόνων, εἴθ' ὑπὸ τῶν ἔξωθεν ἀφικομένων (1), τοὺς παλαίτατα ἐνοικήσαντας πρὸ τῶν Ἑλλήνων, Πελασγοὺς προσαγορεύω, ὡς εἴρηται.

---

(1) Ἀμφισβητεῖται τὸ ζήτημα· οἷς μὲν ἔδοξεν ὅτι οἱ κατ' ἀρχὰς τὴν Ἑλλάδα κατοικήσαντες ἐκ τῶν τῆς Ἀσίας ἀρκτικῶν πρὸς τὸν Εὔξεινον Πόντον ἀπελθόντες, τήν τε Θετταλίαν καὶ τὴν Βοιωτίαν κατέσχον, πρὶν ἢ τὴν Πελοπόννησον εἰσιέναι, ἤδη προσαγορευθέντες Πελασγοί (Ἀναγνωστ. Lévesque, ἐν τῷ βιβλ. τῷ ἐπιγεγρ. *Études de l'histoire ancienne*, tom. II, p. 77 et suiv., καὶ Herbert, ἐν τῷ βιβλ. τῷ ἐπιγεγρ. *Horæ pelasgicæ*, pars I. οἷς δὲ, ὅτι ἑκάστην χώραν κατέσχον αὐτόχθονες, καθόλου Πελασγοὶ προσαγορευθέντες (Ἀναγνωστ. Niebuhr, ἐν τῷ βιβλ. τῷ ἐπιγεγρ. *Rœmische Gesch.* I, p. 32 et suiv.), ἢ Γραικοί τε καὶ Λέλεγες ἢ Κουρῆτες, καὶ Πελασγοί. (Ἀναγνωστ. Mannert, ἐν τῷ βιβλ. τῷ ἐπιγεγρ. *Geogr. von Griechenland*). Τέλος δὲ κατ' ἐνίους, οὐκ ἀληθῶς γέγονεν ἔθνη, Πελασγοὶ ἢ Ἕλληνες τὸ ὄνομα· ἀλλὰ σημαίνουσιν καταστάσεις ἃς ἐκ διαδοχῆς παρέλαβον οἱ κατ' ἀρχὰς τὴν Ἑλλάδα κατοικήσαντες· τὴν μὲν βαρβαρότητα, οἱ Πελασγοί· τὴν δὲ εἰς τὰ ἡμερώτερα ἤθη μεταβολὴν, οἱ Ἕλληνες. (Ἀναγνωστ. Fréret, *Mém. de l'Acad. des Inscript.* tom. XLVII, p. 77-83.)

Τούτοις δὲ ἴδιά τινα ἦν (1) περὶ τῶν Θεῶν νενομισμένα. Ἔθυον γὰρ πάντα πρότερον θεοῖς ἐπευχόμενοι· ἐπωνυμίαν δὲ, οὐδὲ ὄνομα ἐποιοῦντο οὐδενὶ αὐτῶν. Θεοὺς δὲ προσωνόμασαν σφᾶς ἀπὸ τοῦ τοιούτου, ὅτι κόσμῳ θέντες τὰ πάντα πράγματα καὶ πάσας τιμὰς εἶχον. Ἔπειτα δὲ, χρόνου πολλοῦ διελθόντος, ἐπύθοντο ἐκ τῆς Αἰγύπτου ἀφιγμένα τὰ ὀνόματα τῶν Θεῶν.

Χωρισθέντων οὖν ὧν οἱ ἔποικοι εἰσήνεγκαν, ὥς τισιν ἔδοξε (2), τὰ παρὰ τοῖς Πελασγοῖς δεδογμένα πρὶν ἢ τοῖς ἔξωθεν συγκεκρᾶσθαι, συνέστηκεν ἀμέλει, ὡσαύτως καὶ παρὰ πᾶσι τοῖς πάλαι ἔθνεσιν ἃ περὶ τῶν Θεῶν ἦν ἑκάστῳ νενομισμένα.

Ἀκουστέος δὲ τοσούτου περὶ πράγματος εἷς τῶν γνωριμωτάτων ἀνήρ (3). Ὧν γοῦν οἰκείᾳ συνέσει ἐξήτασε καὶ ὑψηλοτάτῃ λογιότητι περιέβαλεν, ἔνια, ὡς τὰ ἐμαυτοῦ ὁποῖα δὴ κοσμήσων, σπεύδω παρατιθέναι.

« Τῇ μὲν Φύσει πειθόμενος ὁ ἄνθρωπος, τὰ ἑαυτῷ κατ'
« ἀρχὰς περὶ τῶν θείων δεδογμένα κατεστήσατο. Ταῦτα μὲν
« ἅπαντα ὑψηλὰ, πάντα δὲ νοῦν τινα περιέχει ἀκρότατον·
« ὧν ἐστι τά τε ἐπὶ γῆς φαινόμενα, καὶ οἱ ποταμοὶ, ἅμα
« δὲ αἱ πηγαί· καὶ τὰ ὄρη, ἅμα δὲ τὰ ἄντρα· μάλιστα

(1) Ἡρόδοτ. βιβ. β'. κεφ. νβ'.

(2) Ἀναγνωστ. κεφ. Γ.

(3) Gœrres, ἐν τῷ βιβλ. τῷ ἐπιγεγρ. *Mythengeschichte der asiatichen Welt*, I, p. 17-31. Τὰ δὲ ἑπόμενα ἀνέλεξα κατὰ Guigniaut ἐν τῷ βιβλ. τῷ ἐπιγεγρ. *Relig. de l'Antiquité*, tom. I, 2e part. p. 523-528.)

« δὲ πάντων, τὸ πῦρ τῇ ἐνεργητικῇ μὲν, λεληθυίᾳ δὲ « δυνάμει, ἅττα τις ἂν προσφέρῃ εὐθὺς κατεσθίον. Ὀλίγῳ « δὲ ὕστερον, εἰς τὸν οὐρανὸν ἀναβλέπει ὁ ἄνθρωπος, « θαυμαστότατον θέαμα θεασόμενος. Ἐκεῖ γὰρ ἡ τοῦ πυρὸς « πηγή. Ἐκεῖ δὲ, ὥσπερ τις λαμπὰς αἰώνιος, ἄνηπται ὁ « Ἥλιος, καὶ σπινθηρίζει τὰ ἄστρα.

« Τῇ τῶν ἄστρων λατρείᾳ παραχωρεῖ ἢ ἀναζεύγνυται ἡ « τοῦ πυρὸς λατρεία.

« Τὸν δὲ Ἥλιον καὶ τὸν ὅλον τῶν οὐρανῶν στρατὸν, « ὁμοῦ δὲ καὶ τὰ τούτοις ὑποτεταγμένα, τὰς τοῦ οὐρανοῦ « δυνάμεις ἔξεστιν ἐξονομάζειν. Τῷ δὲ ὅλῳ κόσμῳ, ὥσπερ « κατόπτρῳ τινὶ ἀνακλᾶται μὲν ὁ Θεός· τῷ δὲ Θεῷ, οὕτως « ὑπὸ τοῦ κόσμου φανερῷ πεποιημένῳ, λατρεύουσιν οἱ ἄν-« θρωποι.

« Ἐνθένδε τὰ τῶν ἱερέων· τὴν γὰρ Θεότητα ἐκ τῆς Φύ-« σεως ἐξηγοῦνται· τὰ δὲ οὐράνια κατὰ τὰ ἐπίγεια δια-« τάττουσι· πάλιν δὲ τὴν τῆς γῆς ἰχνογραφίαν, ὡς εἰπεῖν, « κατὰ τὸν οὐρανὸν ἀνατυπῶσι. Καὶ τὰς τῆς Σελήνης, ἅμα « δὲ καὶ τοῦ Ἡλίου καὶ τῶν πλανήτων οἰκίας ἐν τῷ ζω-« διακῷ κύκλῳ ἀφορίσαντες, τὴν τοῦ ἐνιαυτοῦ περιστροφὴν « τοῖς κύκλοις τῷ οὐρανῷ ἐγγεγραμμένοις ἀναζευγνῦσι· καὶ « τὰς ἑορτὰς κατὰ τὰς τῶν ἄστρων περιόδους καθίστανται.

« Τὰ δὲ ἔθνη, ἀφ' ἑνὸς κέντρου, ὅ τις ἂν λέγοι τὴν τοῦ « θνητῶν γένους πρώτην ἕδραν, ἀπεληλυθότα μὲν, εἰς δὲ « τὰ τῆς περιφερείας διακεχυμένα, τῇ τῶν χρόνων βραδείᾳ « διαδοχῇ, ταῦτα περὶ τοῦ κόσμου καὶ περὶ τῶν οὐρανίων

« καὶ ἐπιγείων θεωρήματα, ὥσπερ τινὰ κοινὴν κληρονομίαν « ἔξω τῆς πατρίδος εἰς τὰς πολὺ διεστώσας χώρας μετή- « νεγκε. Τοῖς δὲ ἱερεῦσιν ἅτε διδασκάλοις τοῖς πρώτοις, ὡς « ἔθνους ἔτυχον ἀπόρῳ γλώσσῃ χρωμένου καὶ περὶ τὰ « νοερὰ ἀπείρου, ἀξίως ἔδοξε τὸν λογισμὸν οὐδεμίαν ἕξειν « ὠφέλειαν εἰς τὸ τῶς ἑαυτῶν ἐννοιῶν τοῖς πολλοῖς κοινωνεῖν.

« Τούτων δὲ οὕτως ἐχόντων, πρὸ πάντων γε ἀναγκαῖον « ἐγένετο τὸ νοητὸν φῶς ἄμικτόν τε καὶ καθαρὸν τοῖς « φυσικοῖς ἀνακλᾶσθαι καὶ σωματικήν τινα μορφὴν λαμ- « βάνειν, τὴν ἀγρίων τε καὶ ἀπαιδεύτων ἀνθρώπων ἀμβλύ- « τητ' ἵνα μὴ ἐκπλήξῃ ὑπερλάμπον ἄγαν κ. τ. ἑ. »

Πολλῶν δὲ, ὡς εἰκὸς, συμβολαίων τοῖς Πελασγοῖς πρὸς τοὺς τῆς Αἰγύπτου καὶ τῆς Φοινίκης ἀποίκους γεγονότων, τὰ πλεῖστα τῶν παρὰ τούτοις περὶ τῶν Θεῶν δεδογμένα ἀνεδέξαντο. Καὶ ἄλλα μὲν πολλὰ ἐδίδαξαν οἱ σὺν τῷ Πέλοπι ἐκ τῆς Ἀσίας ἀφικόμενοι, πολλὰ δὲ καὶ οἱ Κρῆτες, καὶ οἱ Θρᾶκες καὶ οἱ ἀμφὶ Δευκαλίωνα.

Πρὸς δὲ τούτοις, μεγίστας συντελεσάντων πράξεις τῶν Ἡρώων νέαν τινὰ κατάστασιν ἔσχε τὰ Ἑλληνικά.

Ἐκ τοῦδε γὰρ οἱ Ἕλληνες ἡμερωτέρους τὰ ἤθη καὶ ἐν τῷ ἀμείνονι βίῳ προκόπτοντας ἑαυτοὺς παρέχουσι. Οὐ μέντοι ὅλως ἐξηλείφθη ὁ τῆς βαρβαρότητος πίνος· ἀλλὰ μείζω ῥοπὴν εἰς τὰ ἤθη ἔχει τὰ τῆς βελτίονος πολιτείας σπέρματα. Ψόγον γὰρ φοβοῦνται τὸν ἁπάντων οἱ τὰ δεινὰ πράξαντες, καὶ ταῖς ζημίαις ἢ τῇ φυγῇ ὑπὲρ τῆς κακουργίας δίκην διδόασι. Τότε δὲ πολλαὶ φυλαὶ εἰς τὴν μιᾶς πόλεως κατάστασιν

συνήχθησαν· ὡς ἰδεῖν ἐστιν ἐκ τῶν Ἀμφικτυονικῶν συνόδων, ὁμοῦ δὲ καὶ ἐκ τῶν ὑπὸ Θησέως πεπραγμένων· ὃς καταλύσας τῶν ἄλλων πόλεων τά τε βουλευτήρια καὶ τὰς ἀρχὰς ἐς μίαν πόλιν, ἓν βουλευτήριον ἀποδείξας καὶ Πρυτανεῖον, συνῴκισε πάντας (1). Τότε δὲ καὶ τὰ Ὀλύμπιά τε καὶ τὰ Ἴσθμια καθέστηκεν· οὕτω δὲ ἁπάντων εἰς τὸ αὐτὸ συνελθόντων, ἡγητέον τόνδε σύλλογον ἀρχὴν γενέσθαι τοῖς Ἕλλησι τῆς πρὸς ἀλλήλους φιλίας (2).

Γενομένης δὲ τῆς εἰς Ἴλιον στρατείας, οἰκειοτέρως εἶχον πρὸς ἀλλήλας αἱ τῆς Ἑλλάδος φυλαὶ, καὶ τοῖς Ἀσιάταις συχνοτέρως ἀνεκοινώσαντο.

Τὰ ἐκ τῶν προειρημένων ἀποβάντα δοκεῖ μοι τάδε εἶναι· κατ' ἀρχὰς μὲν γέγονε τοῖς ἐγχωρίοις τινὰ περὶ τῶν Θεῶν δόγματα· ἐπωνυμίαν δὲ, ὡς λέλεκται, ἐποιοῦντο τὰ πρῶτα οὐδενὶ αὐτῶν. Ἀλλὰ μετὰ χρόνον ἐχρηστηριάζοντο περὶ τῶν ὀνομάτων ἐν Δωδώνῃ, εἰ ἀνέλοιντο τὰ ὀνόματα τὰ ἀπὸ τῶν βαρβάρων ἥκοντα· ἀνεῖλε δὲ τὸ μαντήϊον χρῆσθαι. Ἀπὸ μὲν δὴ τούτου τοῦ χρόνου ἔθυσαν, τοῖς ὀνόμασι τῶν Θεῶν χρώμενοι (3).

Οἱ δὲ Αἰγύπτιοί τε καὶ οἱ Φοίνικες καὶ οἱ Φρύγες καὶ οἱ Θρᾷκες τοῖς τῆς Ἑλλάδος ἐγχωρίοις συμμιχθέντες εἰσήνεγκαν τὰ παρ' ἑαυτοῖς περὶ τῶν Θεῶν δεδογμένα. Πολλάκις δὲ

(1) Θουκυδ. βιβ. Β'. κεφ. ιε'.

(2) Λυσ. ἐν τῷ πανηγ. λόγ. παρὰ τῷ Διονυσ. Ἁλικαρ. Τόμ. Α'. σελ. ρι' τῆς ἐμῆς ἐκδόσ.

(3) Ἡρόδοτ. βιβ. Β'. κεφ. νβ'.

περὶ τῶν ξένων Θεῶν ἀνεῤῥάγησαν μάχαι οὐκ ἀναιμωτί. Μετὰ δὲ τὴν νίκην ἕκαστον ἔθνος τοῖς ἔξωθεν Θεοῖς ἔδωκεν τὴν πολιτείαν, ὡς εἰπεῖν, καὶ οὕτως ἰδίους τινὰς Θεοὺς ἔσχε.

Χρόνῳ δὲ ὕστερον τῆς ἁπάσης Ἑλλάδος εἰς ἓν καὶ ταὐτὸ σῶμα συναχθείσης, καὶ ἁπάντων συμμιχθέντων ἐθνῶν, ἅμα δὴ καὶ συνεμίγη τὰ περὶ τῶν Θεῶν δόγματα, πανταχόθεν παρειλημμένα· καὶ οὕτω συνέστηκέ τις Πολυθεότης, μᾶλλον δὲ Πανθεότης.

Νῦν δὲ συλλήβδην λέγειν πειράσομαι πῶς ἔσχε τὰ γράμματα πρὸ τῶν Τρωϊκῶν.

Ὥσπερ παρὰ τοῖς ἑτέροις ἔθνεσιν, οὕτω καὶ παρὰ τοῖς Ἕλλησιν, ἀπὸ τῆς ποιήσεως τὴν ἀρχὴν ἔλαβε τὰ γράμματα. Φήμην γὰρ παραδεδέγμεθα τῶν πάλαι ποιητῶν, ὅτι οἱ διάκονοι ὄντες τῶν Θεῶν, ἱεροὺς συνέγραψάν τε καὶ ὕμνησαν ὕμνους· ὁμοῦδὲ καὶ, ὅσον τότε δυνατὸν, τῇ τῶν ῥυθμῶν ψυχαγωγίᾳ καὶ τῇ μουσικῇ ἔτι θηριώδεις τοὺς ἀνθρώπους, ὅπως ἔχοιεν χειροηθεστέρους πολλὴν σπουδὴν ἐποιήσαντο. Ἐν τούτοις μὲν Λῖνος ὁ παλαιὸς, καὶ Ἀμφίων, καὶ Ὕαγνις ὁ ἐκ Φρυγίας, καὶ Ὠλὴν ὁ Λύκιος, καὶ Ὀρφεὺς ὁ πρότερος, καὶ Μουσαῖος ὁ παλαιὸς, καὶ Παμφὸς, καὶ Χρυσόθεμις, καὶ Φιλάμμων ὁ Δελφικός. Ἐν δὲ ὑστέρῳ, τοῖς Τρωϊκοῖς ἐγγύτεροι Ὀρφεὺς ὁ Θρᾲξ, καὶ Βάκις ὁ ἐκ τῆς Βοιωτίας, καὶ Μουσαῖος ὁ δεύτερος, Ὀρφέως μαθητὴς, καὶ Εὔμολπος, ὁ Μουσαίου, καὶ Θάμυρις, καὶ Μελάμπους, καὶ

Ἀμφιάραος ὁ Οἰκλέους, καὶ συχνοὶ ἄλλοι. Πολλὰ μὲν περὶ τούτων ἱστορεῖται, μᾶλλον δὲ μυθολογεῖται, οἷς ἅπασιν, οἶμαι, οὐκ ἴσως προσεκτέον τὸν νοῦν· ἀλλ' ὅμως ἐνίοις ἐγκεῖσθαι ἀναγκαῖον.

Τὰ πρῶτα μὲν, ὅτι Ὠλὴν, ὃς λέγεται πρῶτός τε μαντεύσασθαι καὶ ᾆσαι τὸ ἑξάμετρον (1), Λύκιος ἦν τὸ γένος· τινὰς δὲ καὶ τῶν προειρημένων ἐγέννησε τὰ τῆς Ἑλλάδος πρὸς τὸν Βορέαν ἢ τὰ πρὸς ἕω. Δεύτερον δὲ, ὅτι τοῖς ἐνδοξοτάτοις, λέγω δὲ Λῖνόν τε καὶ Ἀμφίονα, καὶ Ὀρφέα τὸν Θρᾷκα, καὶ Μουσαῖον τὸν δεύτερον, καὶ Θάμυριν, καὶ Μελάμποδα, καὶ Εὔμολπον, πολλὰ κοινὰ γέγονε. Ἱστοροῦνται γὰρ ὡς τῆς μουσικῆς καὶ ποιητικῆς ἐμπειρότατοι, καὶ περὶ τῆς κοσμογονίας φροντίσαντες, καὶ περὶ τῆς ἰατρικῆς. Ὅθεν, παραλελειμμένων τῶν μύθων, λέγειν ἔξεστιν, ὡς ἔοικε, τούτους σημαίνειν ὁποῖα ἦν παρὰ τοῖς Ἕλλησι πρὸ τῶν Ὁμηρικῶν ποιημάτων τὰ θεολογούμενα. Διὸ μιᾷ ὀνομασίᾳ τούτους περιεχούσῃ, δηλαδὴ τῷ Ὀρφικῷ κύκλῳ, χρῶμαι· ἅπαντας, ὡς συνελόντι εἰπεῖν, σημανούμενος.

Τὰ γοῦν περὶ τῶν Θεῶν δεδογμένα εἰς δύο μέρη διαιρετέον· πρῶτον μὲν τὰ ἐν Σαμοθρᾴκῃ, οἷς περιέχεται τὰ περὶ τῶν Καβείρων ἢ τὰ παλαίτατον θεολογούμενα· δεύτερον δὲ, τὰ Ὀρφικὰ, οἷς περιέχεται τὰ μυστικῶς θεολογούμενα,

(1) Παυσαν. βιβ. Ι'. κεφ. ε'·

Ὠλήν θ', ὃς γένετο πρῶτος Φοίβοιο προφάτας,
Πρῶτος δ' ἀρχαίων ἐπέων τεκτήνατ' ἀοιδάν.

μυθικῷ τινι ὀνόματι καθ' ἑκάστην χώραν σημαινόμενα· τῷ μὲν τοῦ Ὀρφέως τὰ παρὰ τοῖς Θραξί· τῷ δὲ τοῦ Μουσαίου καὶ Εὐμόλπου τὰ παρὰ τοῖς Ἀθηναίοις ἢ ἐν Ἐλευσῖνι δρώμενα· τῷ δὲ τοῦ Μελάμποδος, τὰ παρὰ τοῖς Ἀργείοις (1).

§ Β' Ἀπὸ τῶν Τρωϊκῶν ἄχρι τῆς Ἰωνικῆς αἱρέσεως.

Δηλοῖ ἡ ἱστορία, ὅτι τῶν Ἡρακλειδῶν τὴν Πελοπόννησον ἐπισεισάντων τε καὶ καταστρεψαμένων, ἅπασά γε ἡ Ἑλλὰς ἐταράχθη καὶ εἰς νέαν τινὰ κατάστασιν προήχθη.

Πρότερον ἤδη ἐκβληθέντων τῶν Πελασγῶν, τοῖς τε βασιλεῦσι καὶ τοῖς τῶν λαῶν ἡγεμόσι τῆς περὶ τῶν θείων γνώσεως, ὡς ἥκιστα, μετέδοσαν οἱ ἱερεῖς· πόσῳ δὲ μεῖον μετὰ τὴν τῶν Ἡρακλειδῶν εἰσβολήν (2). Ἐκ τοῦδε, τὰ τὸ πάλαι περὶ τῶν Θεῶν δεδογμένα ὀλίγοις τισὶ μύσταις παρεδίδοτο· οἱ δὲ πολλοί, οἷα δὴ ἀμύητοι, ἠγνόησαν αὐτά, ὡς καλύμμασι παντελῶς ἐγκεκρυμμένα.

Αἱ δὲ πόλεις μετὰ τὰς τῶν πραγμάτων μεταβολὰς ηὐξήθησαν, καὶ εἰσήχθησαν αἱ ἐλευθέριαι τέχναι. Τότε νέους ἀοιδοὺς ἐγέννησεν ἡ Ἑλλάς, τῶν ἱερέων παντάπασιν ἀπαλλαχθέντας, καὶ μηδενὸς αὐτοῖς περὶ τῶν νοερῶν κοινωνήσαντας. Τούτῳ δὲ τῷ τρόπῳ καθ' ἡμέραν ἐξηλείφθη γε ἡ παλαιὰ καὶ ἱερὰ ποίησις, ἧς ἀμυδρά τινα ἴχνη μόγις διέμεινε, τῇ μυσταγωγίᾳ ἢ τῇ παραδόσει διασωθέντα. Με-

(1) Ἀναγνωστ. Tertullianus ἐν τῷ βιβλ. τῷ ἐπιγεγρ. *Apologeticus*.
(2) Ἀναγνωστ. *Rel. de l'Antiq.* Τόμ. Β'. βιβλ. δ'. σελ. τοα'—τος'.

γάλην οὖν εἶχε μεταβολὴν ἡ ποίησις· ἣν ἀκριβῶς ἀπεικάζει τὰ Ὁμηρικὰ ἔπη.

Τοῖς πρότερον θεολογουμένοις ἔνεστι γέ τι μυστηριῶδες ὃ ἐκ τῶν Ὁμηρικῶν ἠφανίσθη· ἐκεῖ γὰρ τὰ περὶ τῶν Θεῶν πλάσματα ἀνθρωπίνῳ τινὶ εἴδει, ὡς τὰ πολλὰ, φαίνεται ἐνειλημμένα. Ταῦτα οὖν δηλοῖ ὅτι οἱ Θεοὶ τοὺς Ἕλληνας εἶχον καθ' ἡμέραν εὐπειθεστέρους καὶ, ὡς εἰπεῖν, θερμότερον θεραπεύοντας, ἅτε σὺν τοῖς πολλοῖς ὁμιλοῦντές τε καὶ διάγοντες.

Τὴν δὲ παλαιὰν ποίησιν διαδεξαμένης τῆς ἰωνικῆς ποιήσεως, οἱ ποιηταὶ τὸν τῆς ἁγιότητος χαρακτῆρα ἀφαιρεθέντες, οὐκέτι τῶν Θεῶν ἑρμηνεῖς ἢ φίλοι ἐνομίσθησαν· ὅμως δὲ, τοὺς Θεοὺς καὶ τὰς Μούσας τούτοις ἀείδουσιν ἐπιπνεῖν παρὰ πᾶσιν ἐδέδοκτο. Εὐπορωτάτην δ' ἐπῶν ἀφορμὴν ἐπόρισεν ἡ μυθολογία· ἐξῆν γὰρ τῆς θεογονίας καὶ τῆς κοσμογονίας ἅπτεσθαι. Τότε οἱ ποιηταὶ τὰς τῶν Τιτάνων καὶ τῶν Γιγάντων μάχας ᾖδον καὶ τὰς τῶν Ἡμιθέων πράξεις. Καὶ ἐνθένδε καθέστηκεν ὁ Μυθικὸς Κύκλος, ὃν λέγομεν. Ἠρέμα δὲ ἐξηλείφθη μὲν ἡ τῶν Ἡρώων μνήμη, καὶ τότε ἤρξατο ἡ Ἐπιστήμη· ἡ δὲ ἰωνικὴ ποίησις ἐκ τῆς ἀρχῆς ἐξεβλήθη· ἣν τῆς ποιήσεως μεταβολὴν ἀπεικάζει Ὅμηρος ὑφ' Ἡσιόδου νικηθείς.

Εὐθὺς ἐκ τούτου πρὸς τῶν ποιητῶν ἦν τὸ διδάσκειν· ἐν δὲ ταῖς γενεαλογίαις τὰ παρὰ τῶν ἀρχαίων παραδοθέντα συλλέξαντες καὶ σωρεύσαντες διέταξαν, ὥστε τὰ ἐκ τῶν ἱερῶν ὕμνων σύμβολα τῆς ἐποποιΐας ὄζειν ἀνανεαζόμενα. Πολλὰ δὲ περὶ τῆς κοσμογονίας καὶ θεογονίας συνέγραψαν

πολλοὶ ἐκ τῆς Βοιωτίας ποιηταί. Τούτους δὲ ἀπεικάζει τὰ Ἡσιοδικά. Ἐν τούτοις γάρ ἐστιν εὑρεῖν τὴν τῶν προτέρων ἐπιστήμην, ὁμοῦ δὲ καὶ τὴν τῶν νεωτέρων, ἣ τὴν ἀρχὴν ἔλαβεν ἐκ τῶν ἐν τῇ πολιτείᾳ καὶ ἐν τοῖς ἤθεσι νεωτερισθέντων.

Συνέσει πολλῇ χρησάμενος, ἐξήγησιν περὶ τῶν Ἡσιόδου ἐξέδωκεν ἀνήρ τις ἐκ τῶν Νέων, ἐν τῷ διδασκαλείῳ τῷ ἐμπειροτάτων διδασκάλων ἀποικίσει ἤδη περιβοήτῳ τεθραμμένος τε καὶ πεπαιδευμένος (1). Οὗτος δὲ οὐκ ἀναξίως ἡγεῖται τὴν μὲν Θεογονίαν τὴν τῶν πάλαι νενομισμένων εἰκόνα εἶναι· τὸ δὲ περὶ τῶν Ἔργων καὶ ἡμερῶν τὸν κανόνα τῶν νεώτερον δεδογμένων. Ἐγὼ μὲν τὴν Θεογονίαν ὡς ἐκ ταύτης τῆς διατριβῆς ἠρτημένην, ἐξηγεῖσθαι ἐν ὑστέρῳ πειράσομαι· τοῦ δὲ περὶ τῶν Ἔργων καὶ ἡμερῶν ποιήματος, ἅτε μάλιστα εἰς τὸ ἠθικὸν καὶ τὸ πολιτικὸν συντείνοντος, οὐδαμῶς ἅψομαι. Πάντα γὰρ ὑπὸ τοῦ προειρημένου περὶ τὰ γράμματα Σοφοδιδασκάλου κάλλιστα λέλεκται.

Τῆς δὲ Ἑλλάδος βαρυκτύπως κινηθείσης, καί τινα τρόπον ἄρδην τε καὶ ἐκ θεμελίων ἐκριζωθείσης, πολλαὶ, ὡς εἴρηται, ἀποικίαι εἰς τὴν Ἀσίαν κατῴκουν· καὶ εὐθὺς ἐκ τούτου κρηπῖδα ἔβαλον τῆς ἀειμνημονεύτου μεταβολῆς, ἣ ἐν τῇ ἕκτῃ πρὸ Χριστοῦ Ἑκατονταετηρίδι ἐξεῤῥάγη. Τὴν μὲν παλαιὰν ποίησιν τὸν θεολογικὸν χαρακτῆρα ἀποδυσαμένην δεδήλωκε

---

(1) Ἐπιγέγραπται *Dissertation sur les œuvres d'Hésiode, par Hamel, élève de l'École Normale*, Paris, 1832.

τὰ Ὁμηρικὰ ἔπη· πάλιν δὲ, δευτέρας γενομένης μεταβολῆς, τὴν ποίησιν τὰ Ἡσιοδικὰ ὥς τι τῆς μαθήσεως τῆς ἀμείνονι πολιτείᾳ πρεπούσης βοήθημα ἀποδείκνυται. Ἐν ταῖς τῆς Ἀσίας ἀκταῖς ηὐξήθη γοῦν τὰ Ἑλληνικὰ γράμματα. Τοὺς πολλοὺς γὰρ τῶν ποιητῶν οὓς Κυκλικοὺς ὀνομάζομεν αὕτη ἡ χώρα ἐγέννησε καὶ ἐθρέψατο· ἐν οἷς Στασῖνος ὁ Κύπριος, καὶ Ἀρκῖνος ὁ Μιλήσιος, καὶ Λέσχης ὁ Λέσβιος, καὶ Πείσανδρος ὁ Καμειρεύς. Ἐκ δὲ τῆς ὀγδόης πρὸ Χριστοῦ Ἑκατονταετηρίδος ἡ ποίησις, ταῖς πολιτικαῖς μεταβολαῖς ἀκολούθως, εἰς νεώτερα σκάμματα ἐκλήθη. Ὡς δὲ, τῆς ἀρχῆς κρατησάντων τῶν βασιλέων, ἐπρώτευσεν ἡ Ἐποποιΐα· οὕτω, δημοκρατουμένων τῶν πόλεων, ἐνίους τῶν ποιητῶν πρὸς τὸ ὑμνεῖν τὰ κοινῶς εὐτυχήματα ἡ Ἐλευθερία τὸ πρῶτον παρώρμησεν. Ἄλλοι μὲν τάς τε κατὰ τὸ σῶμα ἡδονὰς ὕμνησαν· ἄλλοι δὲ, ἅμα τῷ διακελεύεσθαι τοῖς πολίταις περὶ τῆς πρὸς τοὺς Θεοὺς ὑπηρεσίας καὶ περὶ τοῦ γενναίως ἅπαντα φέρειν, τοῖς δυστυχοῦσι τὸ πένθος ἐκούφισαν· ἔνιοι δὲ τὰ τῷ ἀγαθῷ πολίτῃ πρέποντα παρήνεσαν, ἢ τὸ τῆς κακίας αἶσχος γραφικῶς ἀπέδειξαν, ἢ λόγῳ δήκτῃ πικρῶς καθήψαντο. Τούτῳ δὲ τῷ τρόπῳ ἐν τῇ Ἀσίᾳ καὶ ἐν ταῖς νήσοις γέγονε τὰ Λυρικὰ, τὰ μὲν ἡρωϊκὰ, τὰ δὲ ἐρωτικὰ ἢ βακχικά· καὶ οἱ Ἔλεγοι, καὶ τὰ γνωμικὰ καὶ τὰ Ἰαμβικά. Ἡ αὐτὴ γὰρ χώρα ἐγέννησε καὶ ἐθρέψατο πολλοὺς μελοποιοὺς, λέγω δὲ Ἀλκαῖον, καὶ Σαπφὼ, καὶ Ἀνακρέοντα· ὁμοῦ δὲ καὶ τοὺς ἐλεγοποιοὺς Σιμωνίδην τε καὶ Μίμνερμον· καὶ τὸν γνωμικὸν Φωκυλίδην, καὶ τὸν

ἰαμβοποιὸν Ἀρχίλοχον. Ἐγέννησε δὲ καὶ ἐθρέψατο πολλοὺς συγγραφεῖς ἀφ' ὧν τὴν ἀρχὴν ἔλαβεν ὁ πεζός τε λόγος καὶ ἡ ἱστορικὴ πραγματεία· οἵους δὴ λέγω Ἑκαταῖον τὸν Μιλήσιον, καὶ Ἑλλάνικον τὸν Λέσβιον, καὶ Δαμαστὴν τὸν Σιγέα, καὶ Ξάνθον τὸν Λυδὸν, καὶ Διονύσιον τὸν Μιλήσιον (1). Ἐγέννησε δὲ καὶ ἐθρέψατο τοὺς παρὰ τοῖς Ἕλλησιν ἀπαρακαλύπτως φιλοσοφήσαντας· Θαλῆν τε τὸν Μιλήσιον, καὶ Πιττακὸν τὸν Μιτυληναῖον, καὶ Βίαντα τὸν Πριηνέα, καὶ Κλεόβουλον τὸν Λίνδιον ἢ τὸν Κάρα, ὥς φησι Δοῦρις (2).

Τῶν δὲ γραμμάτων οὕτως αὐξηθέντων, ἐν τῇ αὐτῇ χώρᾳ τὰ τῆς συνεχοῦς αἰθρίας καὶ τῆς γῆς ἀγαθὰ πολλαπλασίως ἐποίησεν ἥ τε ἐμπορία καὶ ἡ ναυτικὴ, ὥστε εὐπόρους πάντων γενέσθαι τοὺς ἐκεῖ κατοικοῦντας. Ἐκ δὲ τοῦ πλούτου τὴν ἀρχὴν ἔλαβον αἱ τέχναι. Θαυμαστὸν γὰρ ὅσον ἐν τῇ βαφικῇ καὶ ἐν τῇ μεταλλουργίᾳ καὶ ἐν τῇ χωνείᾳ διέφερον. Ἤρξατο δὲ καὶ παρὰ τούτοις ἡ ἀρχιτεκτονικὴ καὶ ἡ ζωγραφία.

Οὕτως ἐχόντων ἐν τῇ Ἀσίᾳ τῶν πραγμάτων ἐφιλοτέχνουν καὶ ἐν τῇ Μητροπόλει ἄνδρες τινὲς, τόν γε ἀριθμὸν ὀλίγοι. Ἐν τοσούτῳ δὲ, οἱ περὶ τὰ πολιτικὰ νόμοι δικαιότερον διετάχθησαν· ὥστε, νεωτέρας παιδείας πολλῆς ἐκ τῆς Ἀσίας εἰς τὴν Ἑλλάδα εἰσαχθείσης, ἅπαντα εἰς ἓν καὶ ταὐτὸ

(1) Διονύσ. ὁ Ἁλικαρν. ἐν τῷ περὶ Θουκυδίδου § Ε'. Τόμ. Β'. σελ. ρνα'. τῆς ἐμῆς ἐκδόσ.

(2) Παρὰ Διογ. τῷ Λαερτ. βιβ. Α'. § πθ'.

σῶμα συνεστηκέναι· ὅθεν, γενομένης τῆς ἕκτης Ἑκατονταετηρίδος πρὸ Χριστοῦ, ἀνέβλυζέν τι φῶς λαμπρότατον, καὶ ἡ Φιλοσοφία μέχρι τούτου σπαργανισθεῖσα, εὐθὺς ἐκ τοῦδε τῶν πεδῶν ἀπηλλάχθη.

Νῦν δ' ἐπανιτέον καὶ λεκτέον πῶς ἐξηγητέα τὰ παρὰ τοῖς Ἕλλησι περὶ τῶν Θεῶν δεδογμένα.

ΚΕΦ. Γ'.

Πῶς ἐξηγητέα τὰ παρὰ τοῖς Ἕλλησι περὶ τῶν Θεῶν δεδογμένα.

Ἃ εἰς τοὺς Θεοὺς ᾖδον οἱ ποιηταὶ παρὰ τοῖς Ἕλλησι, ταῦτα, οἶμαι, εἰς τὴν τῶν ὄντων γένεσιν ἀνοιστέον. Παρὰ τούτοις γὰρ, ὡς εἰκὸς, καθάπερ παρὰ τοῖς ἑτέροις ἔθνεσιν ἓν καὶ ταὐτὸ πάλαι γέγονεν ἥ τε Θεογονία καὶ ἡ Κοσμογονία· ἀμφοτέρας γοῦν τὰς τῆς φύσεως δυνάμεις, ὅθεν ἅπαντα γεννᾶται, προσωποποιῆσαι, νῦν διὰ βραχυτάτων, ὡς οἷόν τε, δηλοῦν πειράσομαι, ἀρχόμενος ἀπὸ τῶν παρὰ τοῖς Ἰνδοῖς, ὁμοῦ δὲ καὶ παρὰ τοῖς Αἰγυπτίοις, καὶ τοῖς Φοίνιξι.

Παρὰ γοῦν τοῖς Ἰνδοῖς τὰ περὶ τὴν τῶν Θεῶν θεραπείαν, ἐπὶ μιᾶς γ' ἀρχῆς καθεστηκότα, τῷ εἴδει μέντοι δοκεῖ εἰς δύο δογμάτων συστήματα φανερῶς διῃρημένα. Τὰ μὲν τοῖς ἱε-

ρεῦσιν ἐδέδοκτο· τὰ δὲ τοῖς πολλοῖς (1). Ἀμφοτέροις, ὥσπερ τις κοινὴ βάσις ὑπέκειτο ἡ Φύσις· ἀλλὰ τὰ μὲν παρὰ τοῖς πολλοῖς νενομισμένα, μύθοις τε καὶ πλάσμασιν ἐνεκαλύπτετο· τὰ δὲ παρὰ τοῖς ἱερεῦσιν, ἐκ τῆς ἀκροτάτης φιλοσοφίας ἦν κεκραμένα. Κατὰ δὲ τὰ τῶν ἱερέων δόγματα, ἔστι μὲν εἷς Θεὸς, ἀρχῆς τε καὶ τελευτῆς ἄμοιρος· παγκρατὴς, πανάγαθος, παντέλειος. Οὗτος δὲ ὁ Θεὸς αἰώνιός τε καὶ ἀσώματος, καὶ ἀόρατος, καὶ πανταχοῦ παρὼν καὶ ἅπαντα κατέχων, καὶ ἀφ' οὗ γίγνεται ἅπαντα, τὸν κόσμον, ὥσπερ τινὰ ἑαυτοῦ εἰκόνα, ἐκγεννᾷν ἐβουλεύσατο. Τὰ πρῶτα οὖν ἑαυτὸν ἐποίησε φανερὸν, ὡς τὸν τοῦ κόσμου δημιουργόν· ἔπειτα δὲ, ὡς τὸν φύλακα καὶ σωτῆρα· τέλος δὲ, ὥς τινα Θεὸν τὰ κάτω ἀναιροῦντα καὶ πάλιν ἀνανεούμενον. Ἐνθένδε τρεῖς παρὰ τοῖς Ἰνδοῖς ἐγένοντο Θεοὶ, οὓς τρία μὲν ἀπέφηνε σύμβολα· ἡ γῆ δηλαδὴ τὸν ἅπαντα τεκτηνάμενον· τὸ δὲ ὕδωρ, τὸν ἅπαντα σώζοντα· τὸ δὲ πῦρ, τὸν τὰ κάτω ἀναιροῦντα καὶ πάλιν ἀνανεούμενον. Ἐκ δὲ τούτων, οἳ ἐκ τῆς ὑπερτάτης Μονάδος πρῶτοι ἀπεῤῥύησαν, παρὰ τοῖς Ἰνδοῖς Τριὰς καθέστηκε. Ὁ δὲ πρῶτος καὶ ὑπέρτατος Θεὸς, ἀσώματος μὲν, ὡς εἴρηται, καὶ ἀόρατος· ἀλλὰ ποικιλωτάτοις εἴδεσιν ἐκδηλοῦται. Τοῦτον γὰρ ἀποφαίνεται ὁ κόσμος· οὗτός γε αἴτιος τῶν φαινομένων· ἅπαντα δὲ τὰ γεννηθέντα ποιήσας, τῇ τοῦ κόσμου κτίσει, ὁμοῦ

(1) Περὶ τῶν παρὰ τοῖς Ἰνδοῖς δεδογμένων ἀναγνωστ. Brucker, ἐν τῷ βιβλ. τῷ ἐπιγεγρ. *Hist. crit. philosoph.* Τόμ. Α'. σελ. σε'-σιε', καὶ τὸ βιβλ. τὸ ἐπιγεγρ. *Relig. de l'Antiq.* Τόμ. Α'. βιβ. Α', σελ. ρλγ' κ. τ. λ.

δὲ καὶ τῇ σωτηρίᾳ καὶ τῇ ἀναιρέσει τὴν ἑαυτοῦ βούλησιν ἀπέφηνε. Ἀπὸ τούτου, ὡς ἀπὸ τῆς εὐπορωτάτης πηγῆς ἀποῤῥεῖ τὰ φυσικά· μᾶλλον δὲ, οὗτος τὰ ὄντα γεννᾷ τε καὶ τρέφει καὶ ἀναιρεῖ. Ταῦτα τοῖς φυσικοῖς σύνηπται. Οὗτος γὰρ ὁ Θεὸς σὺν τῇ φύσει συνουσίαν ἔσχε· τούτου γὰρ τὸ σῶμά ἐστιν ἡ φύσις, ὡς εἰπεῖν· πολλάκις δὲ τοῦτον σημαίνει τὸ πῦρ, ἢ ὁ ἀὴρ, ἢ ὁ ἥλιος.

Τὴν δὲ Θεογονίαν τε καὶ Κοσμογονίαν ἓν καὶ ταὐτὸ παρὰ τοῖς Αἰγυπτίοις γεγονέναι, ὁμολογητέον. Παρὰ τούτοις γὰρ αἱ τῆς Φύσεως δυνάμεις ταῖς τοῦ Νοῦ δυνάμεσι πλέον ἢ ἔλασσον συνημμέναι, καὶ μυστηριώδους τινὸς μονάδος δίκην συνειλημμέναι, τόν τε Θεὸν καὶ τὸν ἅπαντα κόσμον σημαίνουσι, εἰς τὸ αὐτὸ συμφυομένους, ὥστε, δύο ὄντας, ἕνα γεγονέναι (1).

---

(1) Περὶ τῶν παρὰ τοῖς Αἰγυπτίοις δεδογμένων ἀναγνωστ. Cudworth, ἐν τῷ βιβλ. τῷ ἐπιγεγρ. *Systema intellectuale*, τόμ. Α', σελ. υξζ', κ. τ. λ. — Brucker, τόμ. Α', βιβλ. γ'. σελ. σπ'-τγ'-Καὶ *Relig. de l'Antiq.* τόμ. Α', βιβ. γ'. σελ. τπγ'. κ. τ. λ. — ἀλλ' εὐλαβῶς· πολλὰ γὰρ ὁ σοφώτατος Creuzer εἰς τὰ τῶν Αἰγυπτίων δόγματα ἀναφέρει, ἃ τις ὀρθῶς ἂν νομίσειε φιλοσοφηθέντα κατὰ τοὺς ἀμφὶ Πλάτωνα (μάλιστα δὲ τοὺς τῶν νεωτέρων). Οὕτω σχεδόν τι γνώμης ἔχει ὁ πολυμαθέστ. Guigniaut : « c'est le vieux « système égyptien sous une forme un peu récente, un peu grecque « et *néo-platonicienne*, il est vrai ; mais chaque jour les fécondes « recherches, disons mieux, les admirables recherches de notre « célèbre compatriote, M. Champollion le jeune, viennent confirmer, par des faits aussi multipliés qu'incontestables, tirés des « monuments hiéroglyphiques, les théories que les deux illustres « Allemands (MM. Gœrres et Creuzer) avaient si savamment dégagées d'un chaos de fragments échappés pêle-mêle au naufrage « littéraire de l'Antiquité (liv. III, ch. 2, not. 6) ».

Ὁ γὰρ Αἰών ἐστιν ὁ Θεός· ἀπὸ δὲ τοῦ Αἰῶνος γίνεται ὁ κόσμος· ἀπὸ δὲ τοῦ κόσμου ὁ χρόνος· ἀπὸ δὲ τοῦ χρόνου ἡ γένεσις.

Τὸν δὲ κόσμον οὐκ ἐποίησαν χεῖρές τινες, ἀλλ' ὁ Λόγος· οὗτος δὲ ὁ Λόγος ἐστὶν ἡ τοῦ Θεοῦ βούλησις, ἅμα δὲ καὶ τὸ σῶμα. Ὁ γὰρ τῶν ὄντων ὑπέρτατος Κτίστης ἕτερον τοῦτον κτίστην, ἑαυτῷ ἔνοχον, ἀπὸ τῆς ἑαυτοῦ οὐσίας τῷ γεννήσαντι πάντα ὅμοιον ἐγέννησεν. Οὗτος δὲ τοῦ Θεοῦ υἱός ἐστι τὸ πνεῦμα, σὺν δὲ τῷ πνεύματι ἡ προτέρα ὕλη ἐγεννήθη.

Ταύτην δὲ τὴν ὕλην, ἐν ἑαυτῇ ἅπαντα τῶν ὄντων σπέρματα συνέχουσαν, ἀνάρμοστον δὲ καὶ ἀργὸν ἐκίνησε τὸ Πνεῦμα, καὶ εἴς τινα ὄγκον ἐπηγάγετο, καὶ εἰς τετελεσμένης εἶδος ἐτόρνευσε σφαίρας.

Αὕτη δὲ ἡ σφαῖρα τὸ Ὠὸν ἐγένετο, ὃ ἐκ τοῦ στόματος ἀφῆκεν ὁ Κνέφ· ἢ ὁ λόγος, ἢ τὸ αἰσθητὸν ῥῆμα ὃ ἐφώνησεν, ὅτε τὰ ὄντα ποιεῖν ἐβουλήθη.

Ἡ δὲ Βούτω τὰ τῶν ἁπάντων σπέρματα ἐγέννησε· ἐκ δὲ τούτων τῶν σπερμάτων τὰ μὲν, ἅτε κοῦφα καὶ βάρους ἐκτὸς εἰς τὸ ἄνω ἐπιφερόμενα, χῶρον ἑαυτοῖς ἐξείλετο τὴν ἀκρόπολιν τοῦ Παντός· τὰ δὲ βαρύτατα ἡ γῆ (Θὼ) ἐπεσπάσατο, τῷ ὕδατος ἀμηχάνῳ πλήθει ἐπικλυζομένη. Τέλος δὲ τῶν ὑγρῶν ἡ γῆ ἀπηλλάχθη, καὶ τὸ τοῦ πυρὸς ὑπέρτατον Πνεῦμα τὴν παχυμερῆ σωρείαν διώρισε· καὶ διορίσαν εἰς μέλη ὑπηγάγετο· καὶ ἅπαντα βεβαίᾳ τάξει διεκόσμησεν·

ὑπὲρ δὲ τῆς γῆς τὰ ἄστρα ἐπέσχε τὸ τοῦ οὐρανοῦ ἔδαφος.

Τὸ δὲ τοῦ Δημιουργοῦ ῥῆμα τὸν Ἥλιον ἐγέννησε, τὸν τοῦ οὐρανοῦ Βασιλέα καὶ τὸν δεξιὸν ὀφθαλμόν. Ἅμα δὲ ἐγεννήθη ἡ Σελήνη, ἡ τοῦ οὐρανοῦ Βασίλειά τε καὶ ὁ σκαιὸς ὀφθαλμός.

Ἐκ δὲ τοῦ Ἡλίου καὶ τῆς Σελήνης ἐγεννήθησαν Ὄσιρίς τε καὶ Ἶσις. Καὶ ὁ μὲν Ἥλιος ἐξωνομάσθη Ὄσιρις· ἡ δὲ Σελήνη, Ἶσις.

Ὁ δὲ Ἥλιος χῶρον ἔσχεν ἐν τῇ τοῦ Παντὸς ἀκροπόλει· περὶ δὲ αὐτὸν, τῇ μὲν ἓξ Κάβειροι· τῇ δὲ, ἓξ Καβειρίδες. Ἐκ δὲ τούτων συνέστησαν οἱ δώδεκα οὐράνιοι Θεοί. Οὗτοι δὲ τὸν χῶρον ἐξείλοντο ἐν τῷ Ζωδιακῷ κύκλῳ.

Τούτοις δὲ τοῖς δώδεκα ἓξ καὶ τριάκοντα ἄλλοι ἦσαν ὑποτεταγμένοι, κατὰ τριάδας ἐν ἑκάστῳ ζῳδίῳ. Καὶ ἐξωνομάσθησαν οἱ Αἰθέριοι Θεοί.

Τοῖς δὲ Αἰθερίοις Θεοῖς ἄλλοι ἦσαν ὑποτεταγμένοι, τοσοῦτον πλῆθος, ὥστε τοῦ Ζωδιακοῦ ἑκάστην μερίδα ἴδιον δαίμονα ἐσχηκέναι.

Ταῦτα μὲν ἅλις, οἶμαι, ἐκδηλοῖ ὅτι παρὰ τοῖς Αἰγυπτίοις τά τε φυσιολογούμενα τοῖς Θεολογουμένοις σύνηπται. Παραδείγματος ἕνεκα, ἡ Βούτω, τὰ τῶν ἁπάντων σπέρματα γεννήσασα, ὁμοῦ δὲ καὶ ἡ τῶν Θεῶν μήτηρ, οὐδὲν ἄλλο ἐστὶν ἢ Φύσις· καὶ ὁ πρῶτος δημιουργὸς οὐδὲν ἄλλο ἢ τὸ φῶς ἐν τῷ προτέρῳ σκότῳ εὐθὺς φωτίσαν· καὶ ὁ δεύτερος δημιουργὸς, ὃν ἔτεκεν ὁ

Κνὲφ σὺν τῷ τοῦ Θεοῦ λόγῳ μιγεὶς, ὁ ἅπαντα ἐν τῷ κόσμῳ διατιθεὶς, οὐδὲν ἄλλο ἢ τὸ πῦρ· καὶ ἡ Νεῒθ, ἣν λέγουσι κατὰ τὸν Ζωδιακὸν κύκλον ἐν τῷ οὐρανίῳ ἐδάφει πρώτην ὁδοποιῆσαι, οὐδὲν ἄλλο ἢ τῆς Φύσεως ἡ πάντα κινοῦσα δύναμις.

Ὁμοίαν δὲ ταυτότητα ἔσχε παρὰ τοῖς Φοίνιξιν (1) ἡ Θεογονία καὶ ἡ Κοσμογονία. Μετὰ γὰρ μακρὰς μετοικήσεις οἱ Φοίνικες τὰ τῆς ἔνδον Θαλάττης βεβαίως κατῴκησαν· τότε δὲ ἤρξαντο κατ' ἐμπορίαν ἀποδημῆσαι. Τοῦτον δὲ τὸν τρόπον, τοῖς τῆς γῆς δυτικοῖς σὺν τοῖς τὰ τῶν πρὸς ἕω μέσα ἐνοικοῦσι κοινωνία τις γέγονε. Ἀλλὰ μέντοι τὰ περὶ τῆς τῶν ἁπάντων γενέσεως φυσιολογούμενα καὶ τὰ περὶ τῶν Θεῶν νενομισμένα δοκεῖ ὡς μάλιστα παρὰ τούτοις κατὰ τοὺς Αἰγυπτίους καὶ τοὺς Χαλδαίους συντεθῆναι (2). Παρὰ Φοίνιξι γὰρ, ὥσπερ παρὰ τοῖς Αἰγυπτίοις, τὸ πνεῦμα καὶ ἡ ὕλη, ἀπὸ τοῦ Αἰῶνος, ἐν τῷ Θεῷ ὑπάρχουσι· ταὐτὸ δ' ἐστὶ τῇ Ἴσιδι ὁ Μῶτ· ταὐτὸ δὲ καὶ τῷ Κνὲφ ὁ Πρωτόγονος, κ. τ. λ.

Ταῦτα περὶ τῶν παρὰ τοῖς Ἰνδοῖς τε καὶ τοῖς Αἰγυπτίοις καὶ τοῖς Φοίνιξι Θεολογουμένων λεκτέα μοι, πρὶν ἢ τὰ τῶν Ἑλλήνων δόγματα ἐξηγήσασθαι. Εἰσὶ γάρ τινες ἐλλόγιμοι

(1) Περὶ τῶν παρὰ τοῖς Φοίνιξι δεδογμένων ἀναγνωστ. Brucker, σελ. σμ'-σμγ'. *Relig. de l'Antiq.* τόμ. Β', βιβ. δ', σελ. η', κ, τ. λ., καὶ Orellius, ἐν τῷ βιβλ. τῷ ἐπιγεγρ. *Sanchoniathonis fragment.* Lips. 1826.

(2) Περὶ τῶν παρὰ τοῖς Χαλδαίοις δεδογμένων ἀναγνωστ. Brucker, ελ-ρλβ'-ρμβ'-. *Relig. de l'Antiq.* αὐτόθι. Richter, *Berosi Chaldæorum historiæ quæ supersunt*, Lips. 1825.

ἄνδρες οἷς ἔδοξεν ὅτι τὰ παρὰ τοῖς Ἕλλησι Θεολογούμενα κατέστη ἐκ τῶν ἔξωθεν μετενεχθέντων, καὶ ταὐτὸ γέγονεν ἥ τε Θεογονία καὶ ἡ Κοσμογονία, ὥσπερ παρὰ τοῖς ἔθνεσι παρ' ὧν τὰ περὶ τῶν Θεῶν δόγματα ἐδέξαντο (1). Τοῦτο δὴ καὶ οἶδα ὅτι ἄλλα ἔδοξεν ἄλλοις ἀνδράσι σοφωτάτοις οὓς ἴσως διὰ θαύματος καὶ αἰδοῦς ἄγω. Οὗτοι γοῦν τοὐναντίον νομίζουσιν ὅτι παρὰ τοῖς Ἕλλησιν, αὐτόχθοσί γε οὖσι, τὰ περὶ τῶν Θεῶν ἐκ τῶν ἔξωθεν οὐδαμῶς συνεκέκρατο (2).

Τούτων δὲ οὕτως ἀμφισβητουμένων, οὐκ ἄτοπον ἂν εἴη, ὡς ἔγωγε, λέγειν τὰ παρὰ τοῖς Ἕλλησι θεολογούμενα (εἴτε ἔξωθεν μετενεχθέντα, εἴτε μὴ) καὶ τὰ φυσιολογούμενα, ἓν καὶ ταὐτὸ γεγονέναι, ὥσπερ παρὰ τοῖς πάλαι ἔθνεσι (3).

Εὐθὺς ἀπ' ἀρχῆς παρὰ τοῖς Ἕλλησι τὰ θεολογούμενα τοῖς τε συμβόλοις καὶ τοῖς μύθοις ἦν κεκραμένα. Ἐκεῖ γὰρ οἵ τε πλανῆται δοκοῦσι προσωποποιούμενοι· ὡσαύτως δὲ οἱ ἄνεμοι καὶ τὰ μέταλλα εἰς τὴν τῶν ἀνθρώπων ὠφέλειαν τεχνικῶς περιϊστάμενα, καὶ τὰ ἐν τῷ οὐρανῷ φαινόμενα, καὶ αἱ ἐπὶ τῇ γῇ μεταβολαί. Ἐμοὶ δὲ ταῦτα σπουδαίως διασκεπτομένῳ ἀπομνημονευτέον, ὅτι ἴδιος μὲν καὶ ἔμφυτος χαρακτὴρ τοῖς Ἕλλησι θεολογοῦσι διέμεινεν·

(1) Ἀναγνωστ. *Relig. de l'Antiq.* Τόμ. Β', σελ. συν' κ. τ. λ.

(2) Μάλιστα πάντων Otfr. Müller ἐν τῷ βιβλ. τῷ ἐπιγεγρ. *Geschichte Hell. Stæmme und Stædte.*

(3) Ἀναγνωστ. Cudworth, ἐν τῷ βιβλ. τῷ ἐπιγεγρ. *Systema intellectuale*, Τόμ. Α'. σελ. τμδ'-τμζ'.

ἔσχον γὰρ ἀεὶ εὐκατάφορον ὁρμὴν πρὸς τὸ τὴν ἀνθρωπίνην μορφὴν καὶ τὰ πάθη τοῖς Θεοῖς περιάπτειν. Τοῦτον δὴ τὸν τρόπον γέγονεν, ὅτι πολλάκις τὰ ἐκ τῶν φυσικῶν τοῖς ἱστορουμένοις σύνηπται ἐν τῇ ἑλληνικῇ Θεογονίᾳ. Πρὸς δὲ τούτοις, οἱ περὶ τῆς Θεογονίας συγγράψαντες τὰ μὲν περὶ τῶν φυσικῶν τοῖς μύθοις συνέμιξαν· πάλιν δὲ τὰ παρὰ τοῖς πολλοῖς περὶ τῶν Θεῶν δεδογμένα εἰς τὰ τῶν φυσιολογούντων εὑρήματα μετήνεγκαν· ὥστε τοῖς τε πλάσμασι καὶ τῇ λέξει σχήμασι πεποικιλμένῃ τὰ καθ' ἑαυτὰ σαφῆ, οὕτως ἄσημα καὶ αἰνιγματώδη ἐκποιῆσαι. Ἀλλὰ πολύ γ' ἂν εἴη ἔργον διακρίνειν ὅπως τὰ φυσιολογούμενα τοῖς θεολογουμένοις συνεκαλύφθη πρὸ τῶν Τρωϊκῶν. Ἀμφισβητεῖται γὰρ τὸ πρᾶγμα, καὶ οὐκ οἶδα ὅπως γένοιτό τινι τοῦτο δῆλον, ἐπιλιπόντων ἡμᾶς ἀτρεκῶν δειγμάτων.

Τὰ περὶ τῶν Καβείρων παρὰ τοῖς Σαμόθραξι δεδογμένα ἐνδοξότατός τις ἀνὴρ ἑρμηνεύων (1) διδάσκει τόν τε Ἀξίερον καὶ Ἀξιόκερσον καὶ Ἀξιόκερσαν, τοὺς τρεῖς μεγίστους ἐνταῦθα Θεοὺς ὄντας σημαίνειν τὰς τῆς Φύσεως ὑπερτάτας δυνάμεις ὑφ' ὧν ὁ κόσμος ἐγεννήθη. Ἀλλ' ἄλλος τις ἀνὴρ πολυμαθέστατός τε καὶ κριτικώτατος (2) τοιαύτας λύσεις ἀποδοκιμάζει, ἅτε οὐδὲν βέβαιον ἐχούσας. Καὶ τὴν αὐτὴν βαδίζων περί τε τῶν Ὀρφικῶν (3) καὶ περὶ τῶν ἐν Ἐλευ-

(1) Creuzer. Ἀναγνωστ. *Relig. de l'Antiq.* Τόμ. Β', σελ. σσε' κ. τ. λ.

(2) Lobeck, ἐν τῷ βιβλ. τῷ ἐπιγεγρ. *Aglaophamus, sive de Theologiæ mysticæ Græcorum causis*, tom. II, lib. 3. *Samothracia*, p. 1110-1348.

(3) Αὐτόθι, tom. I, lib. 2. *Orphica*, p. 233-1104.

σῖνι δρωμένων (1), διισχυρίζεται ὅτι ταῦτα οὐδὲν περιέλαβεν ἐσωτερικόν. Αἱ δὲ τούτοιν θαυμαστὸν ὅσην ἐπιστήμην κεκτημένοιν (ἧς μέγιστον ἔλεγχον ἐδότην τῆς ἀληθείας στοχάζεσθαι πειρασαμένω), ὑπεναντιώσεις ἀνταναφέρουσαι τὴν πίστιν, οὐκ ἐῶσιν ἰσχυρὰν ῥοπὴν γενέσθαι πρὸς τὸ ἑκάτερον· ὥστε τὸ ζήτημα εἰς τὸ μέσον, ἅτε τὸ νῦν ἄλυτον, πρέπει φέρειν, ὡς δοκῶ, καὶ ἐπὶ τὰ οὐχ οὕτω δύσκριτα μετέρχεσθαι.

Μετὰ δὲ τῶν Τρωϊκῶν, τῆς ἰωνικῆς ποιήσεως τῇ ἱερᾷ ποιήσει ὑφισταμένης, ἠφανίσθη τὸ μυστηριῶδες ἐν ἅπασι τὸ πρὶν θεολογουμένοις ἐνόν. Διά τι δὲ τοῦτο οὕτως ἔχει ἅλις, οἶμαι, ἐκδεδήλωται (2).

Ἔδοξέ τινι ῥήτορι ἐνδόξῳ ἐν τοῖς μάλιστα (3), ὅτι Σωκράτης τό γε ἀληθὲς, Ὁμήρου μαθητὴς γέγονεν· οὐκ ἄτοπον δὴ ἐνόμισε τὸν μήτε συγγενόμενον μήτε ἰδόντα, τῆς δὲ ποιήσεως συνέντα τῆς Ὁμήρου, τῆς ὅλης διανοίας ἔμπειρον γενόμενον, μαθητὴν Ὁμήρου λέγεσθαι. Τοιαῦτα ἔφη ἄρα σημᾶναι βουλόμενος ὅσου ἄξια ἡγεῖτο τὰ Ὁμηρικὰ ἔπη. Δηλονότι Σωκράτην τοῦ Ὁμήρου μαθητὴν φάσκων, τοσούτοις ἔτεσι ὕστερον γενόμενον, ὑπαινίττεται τὰ ἐκείνου ἔπη εἶναι, ὡς εἰπεῖν, τὸν εὐπορώτατον κρουνὸν, ὅθεν τὰ τῆς σοφίας ἅπαντα ἀφθόνως διαῤῥεῖ. Οὐχ ὅλως

(1) Αὐτόθι, tom. I, lib. 1. *Eleusinia*, p. 2-228.

(2) Ἀναγνωστ. κεφ. Β′, § β′.

(3) Δίωνι τῷ Χρυσοστ. λόγ. νς′ περὶ Ὁμήρου καὶ Σωκρατ.

ἐκείνῳ τὴν αὐτήν εἰμι γνώμην ἔχων· μᾶλλον δὲ λεκτέον, ὡς τὰ Ὁμηρικὰ τοὺς ἐπιχωρίους λόγους περιέχοντα, εἰς τὸ ἀκριβέστατον διδάσκει ὁποῖα ἦν τὰ κατ' αὐτὸν περὶ τῶν Θεῶν δεδογμένα. Παρὰ γὰρ τοῖς τότε τὰ δόγματα ἐκ τῶν φυσικῶν πρὸς τοὺς Θεοὺς μετενεχθέντα διετέλουν ὑπὸ τῶν ἱερέων διδασκόμενα. Οὐ μὴν ἀλλά γε στενωτάτοις ὅροις ἐκεῖ ὁρίζεται τὰ περὶ τοῦ οὐρανοῦ καὶ τὰ περὶ τῆς ψυχῆς· ὅπως αὐτὴ ἔχει σχήματός τε καὶ θέσεως, καὶ ὅθεν γεννᾶται, καὶ οἷ ἀφικνεῖται διαλυθέντος τοῦ σώματος (1). Ἐκεῖ δὲ καὶ οἱ Θεοὶ, ἀθάνατοι μὲν, ἀλλὰ τῇ Μοίρᾳ καὶ τῇ Αἴσῃ ὑποτεταγμένοι· οὓς τις ὀρθῶς ἂν λέξειε τῆς αὐτῆς γε τοῖς ἀνθρώποις φύσεως τετυχηκότας· ἀλλ' ὅμως ὑψωθείσης τε καὶ πολλοῖς πλεονεκτήμασι κοσμηθείσης, οἷον τῇ ταχύτητι, καὶ τῇ τοῦ σώματος ὥρᾳ κ. τ. ἑ. (2).

Τὰ δὲ Ἡσιοδικὰ ποιήματα, ὡς εἴρηται, ἄλλην τινὰ τῆς ποιήσεως μεταβολὴν, νεώτερον γενομένην διορίζει. Οὐ λέληθέ με κριτικωτάτους ἄνδρας νομίζειν, ὅτι ἡ Θεογονία οὐκ ἐγράφθη ὑφ' Ἡσιόδου· ἀλλ' ἐκ παντοίων συγκεκρότηται (3).

---

(1) Ἀναγνωστ. *Relig. de l'Antiq.* Τόμ. Β', βιβλ. ε', σελ. τνϛ', κ. τ. λ. καὶ Halbkart, ἐν τῷ βιβλ. τῷ ἐπιγεγρ. *Psychologia Homerica*, Zullichaviæ, 1796.

(2) Αὐτόθι.

(3) Δηλαδὴ Wolf, ἐν τῇ τῆς Θεογονίας ἐκδόσει, καὶ Hermann ἐν τῇ τῶν Ὁμηρικῶν ὕμνων ἐκδόσ., καὶ Heyne, ἐν τῷ βιβλ. τῷ ἐπιγεγρ. *Commentationes* Societatis Scientiarum Gottingensis, vol. II, ann. 1779. Ἃ οὗτος ἐπέρανεν ἰσχυρὸν ἔλεγχον ἔχει. « Contextum id esse, sive ab « Hesiodo, sive ab alio poeta, ex variis iisque admodum diversis « partibus, nec unum aliquod systema fabularum philosophico

Οἷς τῆς αὐτῆς εἰμι γνώμης, καὶ τὴν Θεογονίαν ἐν τάξει τῆς παλαιᾶς θεολογίας κεφαλαίου ποιούμενος, τινὰ τῶν φυσιολογουμένων, τοῖς μύθοις καὶ συμβόλοις ἐκεῖ περιειλημμένα ἀπὸ τοῦ νῦν, παραδείγματος χάριν, ἐκκαλύπτειν πειράσομαι· τοῖς δὲ ἐμπειροτάτοις ἑρμηνεῦσι (1) πειθόμενος τρία προλέγω διακριτέον.

Πρῶτον μὲν, τὰ πρὸς τὰ πάλαι ἱστορηθέντα κατατείνοντα, καὶ τοῖς φυσιολογουμένοις συμμιχθέντα, ὁμοῦ δὲ καὶ τοῖς περὶ τῆς τῶν ἀνθρώπων γενέσεως παραδοθεῖσι· δεύτερον δὲ, τὰ πάλαι φιλοσοφηθέντα περὶ τῆς κοσμοποιΐας· τρίτον δὲ τὰ πλάσματα, δι' ὧν οἱ ποιηταὶ τὰ πλεῖστα ἐσωματοποίησαν· οἷς ἅπασι, ὥσπερ κανόνι ἰσχυριζόμενος πολλά τις ἂν εὕροι ἀποδεικνύντα ὅτι ἐκεῖ τὰ φυσιολογούμενα τοῖς Θεολογουμένοις ἐγκαλύπτεται.

Ἤτοι μὲν πρώτιστα Χάος γένετ'· αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ
Ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου
Τάρταρά τ' ἠερόεντα μυχῷ χθονὸς εὐρυοδείης·
Ἠδ' Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι...

(Θεογ. στ. ριε'-ρκ'.)

Σημαίνει τὰ τέτταρα τοῖς ἅπασι προϋφεστηκότα· ἔστι

« acumine constitutum comprehendere, satis constare arbitror ». Ἀναγνωστ. Thiersch (περὶ τῶν τοῦ Ἡσιόδου ποιημάτων) καὶ Hamel, ἐν τῷ προειρ. βιβλ. σελ. ν'. σημειώσ. περὶ τῆς Θεογονίας.

(1) Ἐν οἷς Mosheim σημειώσ. εἰς τὸ βιβλ. τὸ ἐπιγεγρ. Cudworthi *Syst. intellectuale*. Τόμ. Α', σελ. τξα'-τξς'. Ἀναγνωστ. περὶ τῶν ἐφ' Ἡσιόδῳ φιλοσοφουμένων, Brucker, σελ. υψ'-υθ'.

γὰρ Χάος ἡ πανδεχὴς φύσις· Γαῖα δὲ, ἡ τοῦ κόσμου βάσις τε καὶ θεμελίωσις· Τάρταρα δὲ, ἡ τῆς γῆς ἀπὸ τοῦ ἀναρμόστου Χάους ἀπαλλαχθείσης εὐκαταφορία πρὸς τὸ εἰς αὐτὸ κατὰ μέρος ἐγκυλινδεῖσθαι· ὁ δὲ Ἔρως, ἐμφυτός τις ἀρετὴ, δι' ἧς ἐγέννησε τὸ Χάος, ὁμοῦ δὲ καὶ ἡ Γαῖα.

Ἐκ Χάεος δ' Ἔρεβός τε μέλαινά τε Νὺξ ἐγένοντο·
Νυκτὸς δ' αὖτ' Αἰθήρ τε καὶ Ἡμέρη ἐξεγένοντο.

(Στ. ρκγ'-ρκδ'.)

Ἔρεβος δηλαδὴ ὁ ἀπὸ τοῦ πρὸ τῆς διακοσμήσεως ὑγροῦ ζοφώδης καὶ σκοτεινὸς ἀήρ· τούτῳ δὲ ἕπεται ἡ νὺξ, ὡς μηδέποτε τῶν διαφωτιζόντων τὸ σκότος ἄστρων γεγονότων (1)· ἢ ἔνεστιν ἐξ ἀμφοτέρων δηλούμενον ἡ νύξ· διαιρεῖ δὲ αὐτὴν εἰς δύο σώματα (2).

Ἀπὸ δὲ τῆς Νυκτὸς καὶ τοῦ Ἐρέβους γεννᾶται ὁ Αἰθὴρ καὶ ἡ ἡμέρα, ὅτι ὁρῶμεν τὸν αἰθέρα κεκοσμημένον τοῖς ἀστράσιν ἐν τῇ νυκτὶ, καὶ ἡ ἡμέρα γίνεται νυκτὸς ὑποχωρούσης (3).

Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ
Οὐρανὸν ἀστερόενθ', ἵνα μιν περὶ πάντα καλύπτοι.

(Στ. ρκϛ'-ρκζ'.)

Σημαίνει τὸ πῦρ, ἅτε κοῦφον καὶ βάρους ἐκτὸς, ἐν οὐ-

(1) Σχολ. σελ. σμδ'.
(2) Αὐτόθι.
(3) Αὐτόθι.

ρανῷ διαλάμψαι· καὶ τότε ἄρξασθαι τὰ ἄστρα κατὰ πάντα τὸν οὐρανὸν ἐκπυροῦσθαι.

> Γείνατο δ' οὔρεα μακρὰ, Θεῶν χαρίεντας ἐναύλους
> Νυμφέων, αἳ ναίουσιν ἀν' οὔρεα βησσήεντα.
> Ἠδὲ καὶ ἀτρύγετον Πέλαγος τέκεν οἴδματι θῦον,
> Πόντον, ἄτερ φιλότητος ἐφιμέρου.
>
> (Στ. ρκθ'-ρλϐ'.)

Τοῦτ' ἔστι τὴν γῆν ἔτι γε μαλακήν τε καὶ πηλώδη, ἔνθα καὶ ἔνθα ταπεινωθῆναι, ὥστ' ὑφιζῆσαι φάραγγας, καὶ ὀφθῆναι χάσματα ἐπὶ μήκιστον εὐρυνόμενα· καὶ τότε τὰ ὕδατα τὸ πρὶν ἁπάσης τῆς γῆς κατακεχυμένα διαῤῥεῦσαι καὶ πανταχόθεν πετρώδεις ἀκρωρείας ἀνίστασθαι.

> Αὐτὰρ ἔπειτα
> Οὐρανῷ εὐνηθεῖσα τέκ' Ὠκεανὸν βαθυδίνην,
> Κοῖόν τε, Κρεῖόν θ', Ὑπερίονά τ', Ἰάπετόν τε,
> Θείαν τε, Ῥείαν τε, Θέμιν τε, Μνημοσύνην τε,
> Φοίϐην τε χρυσοστέφανον, Τηθύν τ' ἐρατεινήν.
> Τοὺς δὲ μεθ' ὁπλότατος γένετο Κρόνος ἀγκυλομήτης,
> Δεινότατος παίδων.
>
> (Στ. ρλϐ'-ρλη'.)

Ὠκεανὸν τίκτει ἡ γῆ οὐρανῷ εὐνηθεῖσα, ὅτι σύνεισι μὲν τῷ οὐρανῷ, καὶ πέριξ ἑαυτῆς μετὰ τοῦ οὐρανοῦ συμπεριέχει τὸν λεγόμενον ὠκεανόν (1).

Τῶν δὲ λοιπῶν τὰ μὲν σημαίνει τὰ στοιχεῖα, κατ' ἀρχὰς πεφυρμένα, ἔπειτα δὲ ἐκ τοῦ Χάους διακριθέντα· τὰ

---

(1) Σχολ. σελ. 238.

δὲ, ὅπως ὁ ἥλιός τε καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες πρὸς ἀλλήλους συναρμόζουσιν· ὧν διασκοπηθέντων, διαμετρεῖσθαι ἤρξατο ὁ χρόνος· ταὐτὸ γάρ ἐστιν ὁ Χρόνος καὶ ὁ Κρόνος (1).

Γείνατο δ' αὖ Κύκλωπας ὑπέρβιον ἦτορ ἔχοντας,
Βρόντην τε, Στερόπην τε καὶ Ἄργην ὀβριμόθυμον,
οἳ Ζηνὶ βροντήν τ' ἔδοσαν, τεῦξάν τε κεραυνόν.

(Στ. ρλθ'-ρμα').

Ἐνταῦθα καὶ τοῖς φυσιολογουμένοις συμμιχθέντα φαίνεται τὰ παρὰ τοῖς Ἕλλησι περὶ τῶν Θεῶν τεθρυλλημένα. Τοῦτο γὰρ ἦν πάλαι αὐτοῖς δεδογμένον, ὅτι ὁ οὐρανὸς καὶ τὰ ἄστρα γόνιμον ἐποίησε τὴν γῆν ἔτι μαλακήν· ὥστε ζῶα διαφόροις μορφαῖς ταύτην προενεγκεῖν καὶ ἀνθρώπους τῇ τῆς φύσεως ἀγαθότητι ὑπερτάτους, οἳ διὰ τοῦτο εἰς τοὺς Θεοὺς ἀνήχθησαν (2). Σημαίνουσι δὲ οἱ Κύκλωπες τὰς τοῦ ἠλεκτρισμοῦ ἐκρήξεις, ὡς δηλοῖ τὰ ὀνόματα· διὸ λέγονται βροντήν τε παραδιδόναι, τεῦξαί τε κεραυνόν.

Ὅσσοι γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο,
δεινότατοι παίδων, σφετέρῳ δ' ἤχθοντο τοκῆϊ
ἐξ ἀρχῆς· καὶ τῶν μὲν ὅπως τις πρῶτα γένοιτο,
πάντας ἀποκρύπτασκε, καὶ ἐς φάος οὐκ ἀνίησκε,
Γαίης ἐν κευθμῶνι· κακῷ δὲ ἐπετρέπετ' ἔργῳ
Οὐρανός· ἡ δ' ἐντὸς στοναχίζετο Γαῖα πελώρη
στεινομένη· δολίην δὲ κακὴν ἐπεφράσσατο τέχνην.

---

(1) Καθάπερ λέγει ὁ Κικέρων, *De natura deorum*, βιβλ. Β', κεφ. κε'.
(2) Διόδ. ὁ Σικ. βιβλ. Α'. κέφ. ι'.

Αἶψα δὲ ποιήσασα γένος πολιοῦ ἀδάμαντος,
τεῦξε μέγα δρέπανον, καὶ ἐπέφραδε παισὶ φίλοισιν.
....
....
Ἦλθε δὲ Νύκτ' ἐπάγων μέγας Οὐρανός· ἀμφὶ δὲ Γαίῃ
ἱμείρων φιλότητος ἐπέσχετο· καί ῥ' ἐτανύσθη
πάντῃ· ὁ δ' ἐκ λοχεοῖο πάϊς ὠρέξατο χειρὶ
σκαιῇ, δεξιτερῇ δὲ πελώριον ἔλλαβεν ἅρπην,
μακρὴν, καρχαρόδοντα, φίλου δ' ἀπὸ μήδεα πατρὸς
ἐσσυμένως ἤμησε, πάλιν δ' ἔῤῥιψε φέρεσθαι
ἐξοπίσω κ. τ. ἑ.

(Στ. ρνδ'-ρπβ'.)

Ἐν τούτοις τὸν Χρόνον σημαίνει ὁ Κρόνος καὶ τὸ τοῦ Κρόνου δρέπανον. Τὰς δὲ ἀλληγορίας τούτῳ τρόπῳ λυτέον οἶμαι· μακροῦ διαγεγονότος χρόνου, τὰ μήδεα Οὐρανὸς ἀπέβαλεν, τοῦτ' ἐστὶ τὴν ἑαυτοῦ δύναμιν δι' ἧς κατ' ἀρχὰς ἀνθρώπους ἐγέννησεν, ἐλάττω μὲν ἐπὶ βραχὺ γενέσθαι, τελευτῶσαν δὲ διαφθαρῆναι παντάπασι.

Μήδεα θ' ὡς τὸ πρῶτον ἀποτμήξας ἀδάμαντι
κάββαλ' ἐπ' ἠπείροιο πολυκλύστῳ ἐνὶ πόντῳ·
ὡς φέρετ' ἀμπέλαγος πουλὺν χρόνον, ἀμφὶ δὲ λευκὸς
ἀφρὸς ἀπ' ἀθανάτου χροὸς ὤρνυτο· τῷ δ' ἐνὶ κούρη
ἐθρέφθη· πρῶτον δὲ Κυθήροισι ζαθέοισιν
ἔπλετο. Ἔνθεν ἔπειτα περίῤῥυτον ἵκετο Κύπρον·
ἐκ δ' ἔβη αἰδοίη καλὴ Θεός· ἀμφὶ δὲ ποίη
ποσσὶν ὑπὸ ῥαδινοῖσιν ἀέξετο. Τὴν δ' Ἀφροδίτην,
Ἀφρογενῆ τε θεὰν, καὶ ἐϋστέφανον Κυθέρειαν
κικλήσκουσι θεοί τε καὶ ἀνέρες κ. τ. ἑ.....

(Στ. ρπη'-ϟζ'.)

Παρὰ τοῖς Ἕλλησιν, ὅσον ἐστὶν εἰκάσαι, τοῖς τε ἐρωτι-

κοῖς, ἅμα δὲ καὶ τῇ γεννήσει ἐπέστη ἡ Ἀφροδίτη Κυπρία τὸ γένος· τὰ γοῦν περὶ ταύτης ἱστορούμενα ταῖς τῶν ὄντων ἀρχαῖς συνεμίχθη.

Σημαίνει δὲ ταῦτα τὴν δύναμιν δι' ἧς τὸ πρῶτον ὁ οὐρανὸς πολλὰ ἐγέννησεν, ἀπὸ τοῦ οὐρανοῦ εἰς τὸ ὕδωρ μετενεχθῆναι· τοῖς γὰρ πάλαι ἐδέδοκτο τῷ ὕδατι κίνησίν τινα ἐμβάλλειν τὸ πνεῦμα καὶ πολλὰ ἐκγεννᾷν δυνατόν. Κατὰ δὲ ταύτην τὴν δόξαν, οἱ ἄνθρωποι τὸ πρὶν διὰ τῆς τοῦ οὐρανοῦ καὶ τῶν ἄστρων δυνάμεως γεννηθέντες, ἐκ τούτου ἐγεννήθησαν ὑπὸ τοῦ πνεύματος τῷ τε ὕδατι καὶ τῷ ἀφρῷ τὴν κίνησιν παρέχοντος. Ὁ δὲ ἀφρὸς ὅθεν Ἀφροδίτη ἐκϐῆναι λέγεται, τὸ ἀνθρώπειον σπέρμα, ὡς ἔοικε, σημαίνει, ἐν ᾧ τις ἔνεστι γεννητικὴ δύναμις.

Ῥᾴδιον μὲν καὶ τοῦ παντός ἐστι πολὺ πλείω προφέρεσθαι· ἀρκεῖ δέ μοι ταῦτα, ὥστ' ἀνύσαντα ἐνθένδε περαίνειν, ὅτι ἐν τῇ Θεογονίᾳ Ἡσιόδῳ ἐπὶ τὸ πλεῖστον ἀνατεθείσῃ, τὰ φυσιολογικῶς φιλοσοφούμενα τοῖς περὶ τῶν Θεῶν δόγμασιν ἐγκέκραται· τοῦτο δὲ οὐκ ἔλαθεν ἄνδρα τῶν πολυμαθεστέρων ᾧ ἔδοξε τὰ πολλὰ τῶν τῆς ἰωνικῆς αἱρέσεως εὑρημάτων τοῖς ὑφ' Ἡσιόδου, τὸ λεγόμενον, ἀντεξετάζειν (1).

Ἄχρι γοῦν τῆς ἰωνικῆς αἱρέσεως τὰ φυσιολογικῶς φιλοσοφούμενα τοῖς περὶ τῶν Θεῶν δόγμασιν ἐμμενῶς συνημμένα

---

(1) Meiners, ἐν τῷ προειρ. βιϐλ. Τόμ. Α'. σελ. ϟε'-ϟζ'. Ὀρθότατα γοῦν Car. Guill. Müller. ἐν τῷ βιϐλ. τῷ ἐπιγεγρ. *De Cyclo Græcorum epico*, σελ. ϡϐ' : Hesiodi Theogonia Ionicis philosophis facem prætulit.

διετέλεσεν· ἀπὸ δὲ τοῦ Θαλοῦ τοῦ Μιλησίου, ἡ Φιλοσοφία ἔξω τῶν θεολογουμένων ἀνεχώρησε καὶ χῶρόν τινα τῆς Θεολογίας παντελῶς κεχωρισμένον ὑφ' ἑαυτῇ ποιησαμένη οἰκεῖον ἐκτήσατο.

ΤΈΛΟΣ.

ARGUMENTUM.

Cogitanti mihi et philosophiæ apud Græcos exordia repetenti operæ pretium fore visum est perpendere cur Thales et Ionici se totos Naturæ rerum investigationi tradiderint.

Necessario hoc ita evenisse haud diffitebitur, si quis ante Thalem acta tempora attento animo perlegerit. Apud Græcos enim sedem suam invenit philosophia, quum jam sparsa fuissent de rerum ortu et generatione cognitionis semina : fabularum vero involucris tecta ἀλληγορικῶς circumferebantur.

Mea sententia, fuit quædam quasi philosophia ante philosophos; quam ut, pro parte virili, ex tenebris, si non omnibus, densissimis tamen extraherem, in subsidium vocavi quæ antiqua literarum monumenta suggerunt.

INSTITUTI ORDINIS EXPLANATIO.

Materiem tractandam ad hunc ordinem redegi :

1° Politicarum rerum mutationes, quum ante Trojanum

bellum, tum a Trojano bello usque ad Ionicæ sectæ tempora, p. 5-13.

2° Ratio cultus Diis per eandem temporum seriem adhibiti, pro meliori vitæ reique politicæ constitutione et literarum incrementis, p. 14-26.

3° Quo modo explicandæ sint plerumque fabulæ, ut ad sensum philosophiæ accommodatum reducantur, p. 26-42.

Etsi dimicantes inter se exstiterunt DD. virorum opiniones de antiquissimis Græciæ incolis, satis probabilibus argumentis nixa videtur eorum sententia, qui arbitrantur Græcorum nationem coaluisse ex variis coloniis Ægypti, Phœniciæ, Thraciæ et Asiæ; quibus sane præerant aliquot prudentes viri, et novis populis tradebant quæ in patria de divinis rebus audierant. — Exponenda ergo judicavi quæ de istis coloniis accepimus, quo facilius repetatur fons unde cultus Deorum dimanaverit.

Fuerunt etiam viri quidam vitæ melioris auctores, perpolitisque sensim moribus et Græcia in unum corpus redacta, constitutus est unus cultus Deorum quibus huc usque singulis singulæ gentes suos honores tribuerant.

Has divinarum rerum mutationes exprimunt mutationes poeseos : quapropter narrandum erat quibus temporum vicibus Poesis, principio arcanis mysteriorum velut inclusa, postea fuerit per fabulas exspatiata, Homero atque Hesiodo ducibus.

Quærendum quoque, quid isti sibi voluerint condendis fabulis; et ad quem scopum fabulæ sint referendæ; non tamen omnes, sed in primis quæ ad Physica pertinent.

Hoc *peracto*, haud scio an rectius dicam, *pererrato* itinere, utinam propositum finem attigerim, et quæ sequuntur, non invalidis, id quod spero, argumentis contendam !

QUÆSTIONES.

I. Ante philosophos fuit quædam quasi philosophia, sed recondita theologorum dogmatibus : hæc est quam nonnulli dixerunt *fabularem* philosophiam.

II. Fabularis philosophiæ potiorem partem apud Græcos constituerunt Scripta de *deorum generatione.*

III. Non multa occurrunt apud Homerum vere φιλοσοφούμενα; quippe qui in eo præcipue fuisse videatur, ut epico carmine ornaret fabulas de diis et heroibus ad sensum vulgi aptas.

IV. Theogoniam Hesiodo adscriptam Auctor, quisquis fuerit, condidit diversos scriptores de *deorum generatione* secutus: quam ob rem insunt huic operi non satis inter sese cohærentia.

V. Theogonia Hesiodo adscripta exprimit physiologicum systema inter veteres Græcos receptum; quod ut probe excutiatur, observandum :

1° More Indorum, Ægyptiorum, Phœnicum, etc., qui nascentis mundi initia Deorum generationi miscuerunt, adeo ut apud eos de *rerum ortu* cognitio inter commenta de *generatione deorum* sit quærenda, Auctorem fabulas de diis et heroibus physicorum scitis composuisse.

2° Quæ ad fictionem aut carminis ornatum spectant, ab ipso argumento accurate esse amovenda, ut in lucem, quoad licet, protrahatur mera rerum notitia.

VI. Quæ de Orphicis perhibentur nullam præbent ansam detegendæ veritati : suspicari fas est excogitata primum fuisse, sive Pythagoreorum sive Onomacriti temporibus; postea vero, longo sed intervallo et Christiana religione magis ac magis crescente, a philosophis qui se recentiores Platonis asseclas

jactitabant, in multum aucta et latius prolata, ad systema omnibus suis numeris absolutum fuisse revocata.

Vidi ac perlegi,

Lutetiæ Parisiorum, in Sorbona, a. d. XVIII kal. jul. ann. M DCCC XXXV, Facultatis Literarum in Academia Parisiensi Decanus,

J.-Vict. LE CLERC.

Typis mandetur

ROUSSELLE,
Studiorum Inspector, procurandis Academiæ Parisiensis rebus præpositus.

ΤΩΝ ΗΜΑΡΤΗΜΕΝΩΝ ΔΙΟΡΘΩΣΙΣ.

ΣΕΛΙΔΙ 7, στίχῳ 19, ἧς ἦρχε, γράφε· ἧς αὐτὸς ἦρχε.
8, στ. 2, ἐξ οὗ Δωριεῖς, γράφε· ἐξ οὗ οἱ Δωριεῖς.
14, στ. 5, συνοικίσθη, γράφε· συνοικισθῇ.
16, στ. 18, ἀνατυπῶσι, γράφε· ἀνατυποῦσι.
17, στ. 6, τῶς, γράφε· τῶν.
18, στ. 11, συχνοτέρως, γράφε· συχνότερον.
18, στ. 23, μαντῆιον, γράφε· μαντεῖον.
18, στ. 24, ἔθυσαν, γράφε· ἔθυον.
19, στ. 14, ὅτι οἱ διάκονες, γράφε· ὅτι διάκονες.
19, στ. 16, ὁμοῦδὲ, γράφε· ὁμοῦ δὲ.
21, στ. 21, ἀμυδρά, γράφε· ἀμυδρά.
22, στ. 30, ἔνεστι, γράφε· ἐνεστί.
22, στ. 12, ἀείδουσιν, γράφε· ᾄδουσιν.
24, στ. 7, Ἀρκῖνος, γράφε· Ἀρκτῖνος.
29, στ. 20, τὸ ἄνω, γράφε· τὰ ἄνω.
29, στ. 22, τῷ ὕδατος, γράφε· τῷ τοῦ ὕδατος.
30, στ. 14, ἐν ἑκάστῳ, γράφε· ἐν ἑκάστῳ.
35, στ. 24, ἐνδόσ., γράφε· ἐκδόσ.